Nov. 30. παρὰ Σωσίῳ χαλεπῶς ἀσθενοῦντι, ἰάσατο αὐτὸν καὶ παραυτίκα πᾶσα ἡ πόλις σχεδὸν ἐκείνη προσῆλθε τῷ Χριστῷ, ὅτε καὶ ἡ τοῦ ἀνθυπάτου γυνὴ Μαξιμίλλα τῶν χαλεπῶν τῆς νόσου λυθεῖσα δεσμῶν καὶ ταχείας τυχοῦσα θεραπείας, ἐπίστευσε· καὶ Στρατοκλῆς ὁ σοφώτατος, ὁ τοῦ ἀνθυπάτου Αἰγεάτου αὐτάδελφος καὶ ἕτεροι πολλοὶ νόσους ἔχοντες ποικίλας καὶ διαφόρους, ὑγιάσθησαν διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τοῦ ἀποστόλου. Διὰ ταῦτα μανίᾳ περιπεσὼν ὁ Αἰγεάτης καὶ σταυρῷ προσηλώσας τὸν ἀπόστολον, αὐτὸς ἀπό τινος μετεώρου κρημνοῦ ἑαυτὸν εἰς γῆν καταβεβληκὼς συνετρίβη. Τοῦ δὲ ἀποστόλου τὸ λείψανον μετὰ πολὺν χρόνον μετετέθη ἐν Κωνσταντινουπόλει καὶ κατετέθη μετὰ Λουκᾶ καὶ Τιμοθέου ἐν τῷ τῶν ἁγίων Ἀποστόλων περιβλέπτῳ τεμένει. — **Db** : 1. — **F** : 1. — **Fa** : 1. — **B** : 1. — **Ba** : 1. — **Bb** : 1. — **T** : 1. — **L** : 1 (= Da). — Sequitur : Τοῦ αὐτοῦ ὅμοιον μεταφρά<σεως> (= S). — **O** : 1. — **Q** : 1. — **C** : deest. — **Ca** : 1. — **Cb** : 1. — **Cc** : 1. — **M** : 1. — Φρουμεντίου, ἀρχιεπισκόπου [5] Ἰνδίας. Ἐν ταῖς ἡμέραις Κωνσταντίνου τοῦ μεγάλου βασιλέως, Τύριός τις φιλόσοφος ἀπῆλθεν ἱστορήσων τὴν ἐσχάτην Ἰνδίαν, λαβὼν δύο νεανίσκους ἀδελφούς. Ἐν δὲ τῷ ὑποστρέφειν αὐτὸν σὺν αὐτοῖς, προσορμήσαντες λιμένι τινὶ διὰ χρείαν ὕδατος, περιέπεσον βαρβάροις [6]. Καὶ τοὺς μὲν τῶν ἐν τῷ πλοίῳ οἱ βάρβαροι πρὸς θάλασσαν κατηκόντισαν, οὓς δὲ κατέσφαξαν, ἐξ ὧν καὶ ὁ Τύριος· φόνου παρανάλωμα γεγονώς, καὶ τοὺς περιλειφθέντας, μεθ' ὧν καὶ οἱ δύο [7] νεανίσκοι, δεσμήσαντες προσήγαγον τῷ βασιλεῖ τῆς Ἰνδίας. Τούτων ὁ μὲν Αἰδέσιος, ὁ δὲ Φρουμέντιος ὠνομάζοντο. Ὁ γοῦν βασιλεὺς τοὺς νεανίσκους εὐφυῶς ἰδὼν [8] ἔχοντας, πρὸς ὃν κατὰ νοῦν εἶχε σκοπὸν τῶν βασιλείων ἐπιμελητὰς καὶ οἰκονόμους προυβάλετο. Εἶθ' ὕστερον τοῦ υἱοῦ τοῦ βασιλέως μετὰ τελευτὴν τοῦ πατρὸς τῆς βασιλείας ἐπιλαβομένου, πλείονος προσέτι [9] καὶ τῆς τιμῆς ἀπολαύοντες, θαρροῦντος [10] καὶ τοὺς [11] ἐκεῖσε τῶν ἐμπόρων ἀφικνουμένων κατὰ τὸ τῶν Ῥωμαίων ἔθος συναθροίζεσθαι καὶ θείας ἐπιτελεῖν λειτουργίας παρεκελεύοντο. Χρόνων δέ τινων διελθόντων, προσίασι τῷ βασιλεῖ [12] καὶ τῆς εὐνοίας ἀπαιτοῦντες μισθὸν τὴν πρὸς τὴν ἐνεγκαμένην ἐξελιπάρουν ἐπάνοδον. Τούτου δὲ τυχόντες, εἰς τὴν Ῥωμαίων ἀφίκοντο γῆν. Καὶ ὁ μὲν Αἰδέσιος τὴν [13] Τύρον κατέλαβε, τοὺς γεννήτορας καὶ τὰ οἰκεῖα ἐπιζητῶν. Φρουμέντιος δὲ τὴν περὶ τὰ θεῖα σπουδὴν τῆς τῶν γεννητόρων προτετίμηκε θέας. Καὶ τὴν Ἀλεξάνδρου καταλαβὼν πόλιν, τῷ τῆς ἐκκλησίας δεδήλωκε προέδρῳ, ὡς Ἰνδοὶ λίαν ποθοῦσι τὸ τῆς εὐσεβείας δέξασθαι φῶς. Πρὸς ὃν καὶ [14] ὁ μακάριος Ἀθανάσιος [15]· « Καὶ τίς σου ἡμῖν, ἔφη, κρείττων [16] τῆς » ἀγνοίας τὴν ἀχλὺν ἀποσκευάσαι τοῦ ἔθνους, καὶ τοῦ θείου κηρύγματος ἀντεπεισάξαι τὴν αἴγλην ; » Ταῦτα [17] εἰπὼν καὶ τῆς ἀρχιερατικῆς αὐτῷ μεταδοὺς χάριτος εἰς τὴν τοῦ ἔθνους ἐξέπεμψε γεωργίαν. Ὁ δὲ καὶ τὴν πατρίδα καταλιπὼν καὶ τοὺς γονεῖς ἀφείς, καὶ τοῦ μεγίστου πελάγους ὑπὲρ τῆς εὐσεβείας καταφρονήσας, κατέλαβε τὸ ἀγεώργητον ἔθνος. Ἐγεώργησε δὲ προθύμως, σύνεργον ἔχων τὴν [18] θεόσδοτον χάριν. Ἀποστολικαῖς γὰρ κεχρημένος διδασκαλίαις καὶ θαυματουργίαις, οὐ μόνον [19] δαιμονῶντας ἐθεράπευσε καὶ πᾶν ὁτιοῦν νόσημα ἀλλὰ καὶ τοῖς ἀντιλέγουσι καὶ μὴ ταχέως τὰ παρ' αὐτοῦ λεγόμενα δεχομένοις, ᾧ μὲν δαίμονα [20] ἐδίδου κατὰ τὸν ἀπόστολον τὸν λέγοντα [21]· « Παράδοτε αὐτὸν τῷ
I. Cor. 5, 5. » Σατανᾷ πρὸς [22] ὄλεθρον τῆς σαρκὸς ἵνα τὸ πνεῦμα σωθῇ· » ὃν δὲ ξηρὸν ἐποίησεν [23]· ἄλλου δὲ τῶν [14] ὀφθαλμῶν [14] τὸ φῶς εἰς ἀβλεψίαν μετέβαλεν. Οἱ δὲ εὐθέως προσπίπτοντες καὶ τῆς ἰάσεως ἀπολαύοντες [24] ἐπίστευον τῷ Χριστῷ. Αἱ καθ' ἑκάστην δὲ γινόμεναι παρ' αὐτοῦ [25] τερατουργίαι [26] μαρτυροῦσι περὶ αὐτοῦ καὶ περὶ τῆς εἰς Χριστὸν πίστεως, ὡς παμπληθεὶ πρὸς θεογνωσίαν ἅπαν τὸ πλῆθος [27] συνήλαυνον [28]. Διὸ καὶ ἐν ὀλίγῳ χρόνῳ μόνος σὺν Θεῷ πᾶσαν τὴν τῶν Ἰνδῶν χώραν βαπτίσας [29], καὶ ναοὺς διαφόρους ἐγείρας καὶ ἱερεῖς ἐξ αὐτῶν χειροτονήσας [30] καὶ εἰδωλεῖα καταστρέψας καὶ τὰ ξόανα [31] συντρίψας, ἅπαν τὸ ἔθνος εἰς θεογνωσίαν μετέβαλεν. Ἐθαύμαζον δὲ ἅπαντες καὶ αὐτὸς ὁ βασιλεὺς λέγοντες· « Χρόνους οὐκ ὀλίγους [32] σὺν ἡμῖν [33] διαβιβάσας [34], οὐδέν τι ἐκ τῶν παρὰ σοῦ θαυμασίων γενο- » μένων [14] ποτὲ ἐποίησας· καὶ νῦν πόθεν σοι, παμφίλτατε, ἡ τοιαύτη χάρις ἐδόθη, δι' ὀλίγου καὶ ταῦτα » καιροῦ ; » Ὁ δὲ μακάριος [35]· « Οὐκ ἐμόν, ἀπεκρίνατο, τὸ δῶρον, τιμιώτατοι τοῦ Χριστοῦ φίλοι, ἀλλὰ » τῆς ἱερωσύνης καὶ αὐτοῦ τοῦ Χριστοῦ. Ἰδὼν γὰρ τὴν ἀγαθὴν ὑμῶν γνώμην, ἐάσας διὰ τοῦτο » πατρίδα καὶ πᾶσαν [14] συγγένειαν κατὰ τὴν τοῦ Κυρίου φωνήν, κατέλαβον τὴν Ἀλεξάνδρειαν· καὶ τὸν » ἀρχηγὸν τῆς ἐκκλησίας τὸν μέγαν Ἀθανάσιον τὰ περὶ ὑμῶν ἀναδιδάξας καὶ χρίσματι ἁγίῳ χρισθεὶς » παρ' αὐτοῦ, καὶ ἀποστολικῷ χαρίσματι λαμπρυνθεὶς τῇ πρὸς Θεὸν αὐτοῦ ἐντεύξει, ἀπεστάλην πρὸς » ὑμᾶς [36] Ὑμῶν δὲ πιστῶς ἐμὲ δεξαμένων, ἡ τῆς ἱερωσύνης χάρις, μᾶλλον δὲ ἡ [14] τοῦ Θεοῦ, ἐνεργεῖ ὡς » ὁρᾶτε δι' ἐμοῦ. » Οὗτος ἐπὶ χρόνοις οὐκ ὀλίγοις συζήσας [37] θεαρέστως [38] αὐτοῖς καὶ τὰς τοῦ Θεοῦ ἐντολὰς ἐκδιδάξας [39] καὶ πρὸς τὴν τούτων [40] ἐργασίαν παραδόξως μεταρυθμίσας, κατὰ τὸ δυνατὸν ἑκάστῳ, ἀφεὶς τὰ κατ' αὐτὸν πρὸς Κύριον ἐξεδήμησεν. Οὗ τὸ τίμιον λείψανον παντοδαπὰς τοῖς προσιοῦσι τὰς ἰάσεις [41] παρέχει, εἰς δόξαν τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν. Ἀμήν. — **Mv** : 1 (Μνήμη ... Ἀνδρέου). — Ὑπόμνημα εἰς τὸν ἅγιον ἀπόστολον Ἀνδρέαν. — Φρουμεντίου. — **Mr** : 1.

— [5] ἐπισκόπου Mv. — [6] βαρβάροις π. Mv. — [7] *om.* Mv. — [8] ἰδ. εὐφ. Mv. — [9] ἔτι Mv. — [10] ἀπολαβόντες θ. M, ἀπολαβόντων θαρροῦντες Mv. — [11] τῶν Mv. — [12] τῷ βασιλεῖ π. Mv. — [13] ταῖς Mv. — [14] *om.* Mv. — [15] οὗτος γὰρ ἦν ὁ τὴν ἐκκλησίαν τότε τῆς Ἀλεξάνδρου καὶ τὸν θρόνον κοσμῶν *add.* Mv, ἔφη *add.* M. — [16] κρείττων ἔφη Mv. — [17] καὶ ταῦτα Mv. — [18] ἔχων σύνεργον καὶ Mv. — [19] τοὺς *add.* Mv. — [20] δαίμονι Mv. — [21] τὸν λέγοντα ἀπόστολον Mv. — [22] εἰς Mv. — [23] ἐποίει Mv. — [24] ἀπολαβόντες M, Mv. — [25] παρ' αὐτοῦ *om.* Mv. — [26] θαυματουργίαι Mv. — [27] ἅπαν τὸ πλῆθος πρὸς θεογνωσίαν Mv. — [28] διήλαυνον Mv. — [29] βαπτίσας χώραν Mv. — [30] καὶ ... χειροτονήσας καὶ ναούς .., ἐγείρας Mv. — [31] πάντα *add.* Mv. — [32] οὐκ ὀλίγους χ. Mv. — [33] ὧν *add.* Mv. — [34] διεβιβάσας M. — [35] ὁ δὲ μακάριος *om.* Mv. — [36] πρὸς ὑμᾶς ἀπεστάλην Mv. — [37] ζήσας Mv. — [38] ἐν *add.* Mv. — [39] διδάξας Mv. — [40] τοῦ Θεοῦ Mv. — [41] τὰς ἰάσεις τοῖς προσιοῦσι Mv.

ΜΗΝ ΔΕΚΕΜΒΡΙΟΣ

ἡμέρας ἔχει λα', ἡ ἡμέρα ἔχει ὥρας θ' καὶ ἡ νὺξ ὥρας ιε'.

ΠΡΩΤΗ.

1. Μνήμη τοῦ ἁγίου προφήτου Ναούμ [1], ὃς λέγεται παράκλησις ἐγὼ πᾶσιν ἢ φρόνημα ἢ ὑπόληψις. Οὗτος ἦν ἀπὸ Ἐλκεσεὶμ [2] πέραν εἰς [3] Βαθαρεὶμ [4] ἐκ φυλῆς Συμεών· ὃς καὶ μετὰ τὸν Ἰωνᾶν τῇ Νινευΐ [5] τέρας ἔδωκεν, ὅτι ὑπὸ ὑδάτων γλυκέων καὶ πυρὸς ὑπογαίου ἀπολεῖται· ὃ καὶ γέγονεν. Ἡ γὰρ περὶ αὐτὴν λίμνη κατέκλυσεν αὐτὴν ἐν συσσεισμῷ καὶ πῦρ ἐκ τῆς ἐρήμου ἐπελθὸν τὸ ὑψηλότερον αὐτῆς μέρος ἐνέπρησεν. Ἀπέθανεν δὲ ἐν εἰρήνῃ καὶ ἐτάφη ἐν τῇ γῇ αὐτοῦ. Ἦν δὲ στρογγύλον καὶ σιμὸν ἔχων τὸ γένειον, ἰσχνὸς τὰς παρειάς, οὖλος τὴν τρίχα, μικρὸν ὑποφάλακρος, ἐπιμήκης τὴν κεφαλήν, ὡσεὶ χρόνων με' [6].

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀνανίου. Ὃς ἦν ἐκ πόλεως Ἀρβὴλ [1] τῆς Περσίδος, τῷ σχήματι λαϊκός· χριστιανὸς δὲ [2] ὢν καὶ συσχεθεὶς ὑπὸ τοῦ ἄρχοντος, ὡμολόγησε τὸν Χριστόν· καὶ μετὰ πολλὰς βασάνους κείμενος ὡσεὶ νεκρός, ἀνοίξας τοὺς ὀφθαλμοὺς εἶπε· « Ποιήσατε » εὐχὰς πρὸς τὸν Θεόν· ὁρῶ γὰρ κλίμακα φθάνου- » σαν εἰς τὸν οὐρανὸν καὶ πυροειδεῖς ἄνδρας » λέγοντάς μοι· Ἐλθὲ μεθ' ἡμῶν καὶ εἰσαγάγωμέν » σε εἰς πόλιν πλήρη φωτὸς καὶ εὐφροσύνης. » Καὶ οὕτως [3] παρέδωκε τὸ πνεῦμα.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου Φιλαρέτου τοῦ ἐλεήμονος. Οὗτος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας
f. 94. Εἰρήνης καὶ Κωνσταντίνου | τοῦ ταύτης υἱοῦ, πόλεως [1] Γάγγρας, χωρίου Ἀμνίας [2] λεγομένου, υἱὸς εὐγενῶν γονέων Γεωργίου καὶ Ἄννης ἀπὸ Πόντου καὶ Γαλατικῆς χώρας ὁρμωμένων, γεηπόνων ὄντων καὶ πολλὴν καὶ αὐτάρκη τὴν ὕπαρξιν ἐχόντων. Ὁ δὲ τίμιος [3] Φιλάρετος τῇ γεωργίᾳ προσκείμενος [4] οὐδὲ τῶν ἄλλων ἀρετῶν ἠμέλει, κατεξαίρετον δὲ τῆς ἐλεημοσύνης καὶ τῆς φιλοξενίας ἐπεμελεῖτο. Ἐπὶ τοσοῦτον γὰρ ἐσκόρπισε τὰ ὑπάρχοντα αὐτοῦ, ὥστε καὶ εἰς παντελῆ πτωχείαν ἀνελάσαι καὶ ὑστερεῖσθαι καὶ τῆς ἀναγκαίας τροφῆς τὴν οἰκίαν αὐτοῦ. Τοῦ δὲ βασιλέως Κωνσταντίνου τὴν αὐτοῦ ἐγγόνην ἁρμοσαμένου [5] Μαρίαν, πολλὰ προσεγένετο αὐτῇ χρήματά τε καὶ κτήματα. Καὶ αὐτὸς δὲ τῇ τοῦ ὑπάτου ἐτιμήθη ἀξίᾳ· ὅμως ὁ μακάριος οὗτος καὶ πάλιν τὰ προσόντα αὐτῷ τοῖς πτωχοῖς παρεῖχε, στενάζων καθ' ἑκάστην καὶ τῆς μελλούσης κρίσεως τὴν ἀνάμνησιν ποιούμενος. Ἐπεὶ δὲ ὁ καιρὸς τῆς ἐξόδου αὐτοῦ ἐγνώσθη [6] αὐτῷ, προσκαλεσάμενος τοὺς παρόντας αὐτῷ συγγενεῖς, τὰ μέλλοντα συμβαίνειν αὐτοῖς πάντα προεῖπεν. Εἶτα κατηχήσας παρεκάλει λέγων· « Τεκνία, τῆς φιλοξενίας μὴ ἐπιλανθάνεσθε, τοὺς » νοσοῦντας ἐπισκέπτεσθε καὶ τοὺς ἐν φυλακῇ, » χηρῶν προΐστασθε καὶ ὀρφανῶν, τοὺς νεκροὺς » ἐνταφιάζετε [7], τῆς ἐκκλησίας μὴ ἀπολιμπάνεσθε [8] » τῶν ἀλλοτρίων μὴ ἐπιθυμεῖτε, μὴ κακολογήσητέ » τινα μηδὲ ἐπιχαρῆτε ἐχθρῷ θλιβομένῳ, ὅμως ὡς » κἀμὲ εἴδετε [9] ποιοῦντα καὶ ὑμεῖς ποιεῖτε· μνείαν » ποιεῖσθε τῶν ἁγίων καὶ τῶν ἀποιχομένων καὶ » ἐμοῦ αὐτοῦ, ἵνα ὁ Θεὸς ὑμᾶς διαφυλάξῃ. » Ταῦτα εἰπὼν ἐν εἰρήνῃ τὸ πνεῦμα αὐτοῦ τῷ Θεῷ παρέθετο. Τὸ δὲ σῶμα αὐτοῦ ἔθετο ἐν τῇ μονῇ τῆς Κρίσεως.

Dec. 1.

1. — [1] τοῦ Ἐλκεσαίου *add.* Sa. — [2] Sa, Ἐλκεσειμόν S. — [3] εἰ Sa. — [4] S, Sa, *al.* πέραν τοῦ Ἰσβηγαβαρίν, πέραν τ[illegible] Ἰορδάνου εἰς Βηγαβάρ, Nestle, Vit. prophet., *pp. 26, 27* ; Βηθγαβρη *in codice Syro hexaplari, cf.* Nestle, Zeitschrift des d. Palaestina-Vereins, *t. I, p. 224.* — [5] Νινευεὶ Sa. — [6] μ' καὶ ε' Sa.
2. — [1] Sa, Ἀρβηλὸν S. — [2] *om.* Sa. — [3] οὕτω Sa.
3. — [1] ἐκ πόλεως Sa. — [2] Ἀμνείας Sa. — [3] οὗτος *add.* Sa. — [4] προκείμενος S. — [5] ὁρμασαμένου S, Sa. — [6] διεγνώσθη Sa. — [7] ἐπιλανθάνεσθαι ... ἐπισκέπτεσθαι ... προΐστασθαι ... ἐνταφιάζεται S. — [8] Sa, ἐπιλανθάνεσθε S. — [9] ἴδεται S.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. 6. 7. — **Sb** : deest. — **H** : 1. 2. 4. 5. 6. 7. — **P** : 2. 1. 4 (Ὀνησίμου καὶ Σολομῶνος). — 5. 6. — **Da** : 1. 2 (= Ba). 3 (= Ba). — **Db** : 1. 2. 3. — **F** : 1. 2. 3. — **Fa** : 1. 2. 3. — **B** : 1. 2. — **Ba** : 1. 2 : Ἀνανία. Οὗτος ἦν ἐκ Περσίδος κτλ. (= Cc, sub nomine Μηνᾶ). — 3 : Φιλαρέτου τοῦ ἐλεήμονος. Οὗτος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου καὶ Εἰρήνης τῆς τῶν Παφλαγόνων χώρας ὁρμώμενος... Des. ὡς ἐμὲ εἴδετε ποιοῦντα οὕτως καὶ ὑμεῖς ποιεῖτε. Ταῦτα εἰπὼν καὶ ἐπευξάμενος ἐν εἰρήνῃ ἀνεπαύσατο. — **Bb** : 1. 2. — **T** : 1. — **L** : 1. — **Q** : 1. 2. — **C** : deest. — **Ca** : 1. — Τοῦ ἁγίου μάρτυρος Μηνᾶ. — 4. — **Cb** : 1. 2. — **Cc** : 1. — Μηνᾶ. Οὗτος ἦν ἐκ πόλεως Ἀρβὴλ τῆς Περσίδος· διὰ δὲ τὴν εἰς Χριστὸν πίστιν καὶ ὁμολογίαν συσχεθεὶς καὶ πολλὰς ὑποστὰς βασάνους, ἐν τῷ μέλλειν ἐξ αὐτοῦ παρατίθεσθαι τὸ πνεῦμα, εἶπεν ὁρᾶν κλίμακα [1] φθάνουσαν εἰς τὸν

Dec. 1.

[1] κλίμακαν Cc.

Dec. 1. **4.** Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων πατέρων ἡμῶν καὶ ἀρχιεπισκόπων Ἐφέσου Ὀνησιφόρου καὶ Σολομῶντος[1].

5. Καὶ τὰ ἐγκαίνια[1] τοῦ ἁγίου[2] Τρύφωνος.

6. Καὶ τοῦ ἁγίου Χριστοφόρου πλησίον τῆς ἁγίας Εἰρήνης τῆς ἀρχαίας καὶ νέας.

7. Καὶ μνήμη τοῦ ἁγίου Θεοδώρου ἐν τοῖς Σφωρακίου[1].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Β'.

Dec. 2. **1.** Μνήμη τοῦ ἁγίου καὶ ἐνδόξου[1] προφήτου Ἀμβακούμ, ὃς ἑρμηνεύεται δεδικαιωμένος ἢ πατὴρ ἐγείρων. Οὗτος ἦν ἐκ φυλῆς Συμεὼν[2]
f. 94v. ἀγροῦ Βεθησουχαρεί[3]. Οὗτος εἶδε πρὸ τῆς | αἰχμαλωσίας τὴν ἐρήμωσιν τοῦ ναοῦ καὶ[4] Ἱερουσαλὴμ καὶ ἐπένθησε σφόδρα. Καὶ ὅτε ἦλθε Ναβουχοδονόσορ εἰς Ἱερουσαλήμ, ἔφυγεν εἰς Ὀστρακίνην καὶ ἦν πάροικος εἰς γῆν Ἰσμαήλ. Ὡς δὲ ὑπέστρεψαν οἱ Χαλδαῖοι καὶ οἱ κατάλοιποι οἱ ὄντες ἐν Ἱερουσαλὴμ κατέβησαν εἰς Αἴγυπτον, ἣν παροικῶν τὴν γῆν αὐτοῦ καὶ ἐλειτούργει θερισταῖς τοῦ ἀγροῦ αὐτοῦ. Καὶ ὡς ἔλαβε τὸ ἔδεσμα, προεῖπε τοῖς ἰδίοις[5] λέξας· « Πορεύομαι εἰς γῆν μακρὰν καὶ ταχέως » ἐπανελεύσομαι· ἐὰν δὲ βραδύνω, ἀπενέγκατε τὸ » ἄριστον τοῖς θερισταῖς. » Ταῦτα εἰπὼν ὑπὸ ἀγγέλου ἀπήχθη εἰς Βαβυλῶνα μίλια διακόσια ἑξήκοντα πέντε. Καὶ δοὺς[6] τὸ ἄριστον τῷ Δανιὴλ ἐν τῷ λάκκῳ, ἐπέστη τοῖς θερισταῖς ἐσθίουσι· καὶ οὐδενὶ εἶπε τὸ γενόμενον. Συνῆκε δὲ ὅτι τάχιον ὑποστρέψει ὁ λαὸς ἀπὸ Βαβυλῶνος[7], καὶ πρὸ δύο ἐτῶν τῆς ὑποστροφῆς ἀποθνήσκει καὶ θάπτεται ἐν ἀγρῷ ἰδίῳ. Ἔδωκε δὲ τέρας τοῖς ἐν τῇ Ἰουδαίᾳ, ὅτι προφήτης ἀναστήσεται καὶ ὄψονται ἐν αὐτῷ φῶς καὶ οὕτως ἴδωσι τὴν δόξαν τοῦ μονογενοῦς· οἱ δὲ μὴ ὑπακούσαντες αὐτοῦ ἔσονται ἐν σκότει. Καὶ περὶ τῆς[8] συντελείας τοῦ ναοῦ εἶπεν, ὅτι ὑπὸ ἔθνους δυτικοῦ ἁλώσεται· « Τότε τὸ ἄπλωμα, » φησίν, τοῦ δαβὴρ εἰς μικρὰ ῥήματα βαγήσεται, » ἐξελθόντος ἐκ τοῦ ναοῦ τοῦ ἁγίου Πνεύματος, » καὶ τὰ ἐπίκρανα τῶν δύο στύλων ἀφαιρεθή- » σονται. Καὶ οὐδεὶς[10] γνώσεται ποῦ εἶεν· ταῦτα » δὲ ὑπὸ ἀγγέλου ἀπενεχθήσονται ἐν τῇ ἐρήμῳ, » ὅπου ἐν ἀρχῇ ἐπάγη ἡ σκηνὴ τοῦ μαρτυρίου· καὶ » ἐν αὐτοῖς γνωσθήσεται ἐπὶ τέλει Κύριος, καὶ » φωτιεῖ τοὺς διωκομένους ὑπὸ τοῦ ὄφεως καὶ » ἀποκαταστήσει αὐτοὺς ὡς ἐξ ἀρχῆς. » Ταῦτα εἰπὼν ἐν εἰρήνῃ ἀνεπαύσατο καὶ ἐτάφη ἐν ἀγρῷ ἰδίῳ μόνος. Ἦν δὲ στρογγύλον ἔχων τὸ γένειον,

4. — [1] S, Sa, *al.* Σολομῶνος Cc, Cd.
5. — [1] τοῦ ναοῦ *add.* Sa. — [2] μάρτυρος Sa.
7. — [1] *ita corr., prius* Φωρακίου, *et add.* ταῖς <αὐ>τῶν πρεσβείαις ὁ Θεὸς Sa, Σπαρακίου S. *Cf. Sept. 23*[1].
1. — [1] καὶ ἐνδόξου *om.* Sa. — [2] Ἐφραΐμ Sa, Συμεὼν S *et ceteri*, Nestle, *pp. 26, 27.* — [3] Βαιθζαχαρία *I Mach. 6, 32.* — [4] τῆς *add.* Sa. — [5] Sa, Ἰουδαῖοι S. — [6] δὺς S. — [7] Βαβυλῶνα S. — [8] *om.* Sa. — [9] στόλων Sa. — [10] οὐδὲν S.

Dec. 1. οὐρανὸν καὶ πυροειδεῖς ἄνδρας προσκαλουμένους εἰς πόλιν φωτὸς πλήρη[2] καὶ εὐφροσύνης· καὶ οὕτως ἐτελειώθη. — 4. — **Cd** : 1. — Μηνᾶ. — 4. — **M** : 1. 2. 3. — **Mv** : 1. 3. 2. — **Mb** : 1. 2. 4 (Σολομῶντος Ἐφέσου). — 3. — **Mr** : 1.

Dec. 2. SYNAXARIA SELECTA. **Sa** : 1. add. : Τελεῖται δὲ ἡ αὐτοῦ μνήμη ἐν τῷ ναῷ τοῦ ἁγίου Ῥωμανοῦ, ἔνθα καὶ τὸ ἅγιον αὐτοῦ σῶμα ἀπόκειται μετὰ τοῦ προφήτου Δανιήλ. — 2. 3. 4. — **Sb** : deest. — **H** : 1. — Ἀβίβου. — 2. — **P** : Ἀβίβου ἐπὶ Λικιννίου τοῦ βασιλέως· διάκονος τάξει· ἐκέλευσε πυρὶ παραδοθῆναι· καὶ τούτου συσχεθέντος ἐν Θελσὲν τῇ κώμῃ ἐποίησαν τὸ κελευσθὲν καὶ περιβαλόντες ὀθόνην καὶ ἔλαιον μεμυρισμένον ἀλείψαντες ἔθηκαν μετὰ Γουρία καὶ Σαμωνᾶ ἐν τόπῳ λεγομένῳ Βηθελακήκλα σαββάτῳ, δευτέρᾳ Δεκεμβρίου μηνός (Νον. 15[1]). — 1. 2. 3. — **Da** : 1. 2 (des. : ταῦτα δὲ διηγήσατο ἡμῖν ὁ μέγας ἐρημίτης Παφνούτιος ὁ καὶ αὐτόπτης αὐτῶν γενόμενος καὶ γραφεὺς τοῦ βίου αὐτῶν). — **Db** : 1. 2. — **F** : 1. 2. — **Fa** : 1. 2. 3. — **B** : Φιλαρέτου (Dec. 1[3]). — 1. — Ἀβίβου. — **Ba** : 2 (= Da). — **Bb** : Φιλαρέτου. — 1. 2. — **T** : 1. — **L** : 1. — **Q** : 1. — **C** : mutil. 1. — Ἀββίβου. — **Ca** : Φιλαρέτου. — 2. 1. — Ἀββίβου. — **Cb** : Φιλαρέτου. — Ἀμβίβου. — **Cc** : Φιλαρέτου. — 2. 1. — Ἀββίβου. Ursus 2 : Ἰωάννου, Ἀνδρέου, Ἡρακλάμωνος, Θεοφίλου. — 3. — **Cd** : Φιλαρέτου. — 1. — Ἀββίβου. Οὗτος ἦν ἐπὶ Λικινίου τοῦ βασιλέως, διάκονος ὑπάρχων τῇ τάξει· διὰ δὲ τὸ τὸν Χριστὸν ὁμολογεῖν συλληφθεὶς ἐν Θηλσεῖ τῇ κώμῃ, εἰς πῦρ ἐνεβλήθη καὶ ἐν αὐτῷ τὸ τέλος ἐδέξατο· ὃν οἱ χριστιανοὶ ἀρωμένοι καὶ μύροις ἀλείψαντες κατέθηκαν μετὰ Γουρία καὶ Σαμονᾶ ἐν τόπῳ λεγομένῳ Βηθελακικλα (Νον. 15[1]). — **M** : 1. 2 Μυρώπης[1] mutil. — **Mv** : 1. 2. — Μυρώπης[1]. — **Mb** : 1. 2. — Μυρώ πης. Ἡ ἁγία αὕτη Μυρώπη ἐγεννήθη ἐν τῇ Ἐφεσίων πόλει. Τοῦ[2] πατρὸς αὐτῆς τελευτήσαντος, ἀνήχθη παρὰ τῆς μητρὸς[3]· ἀναγεννηθεῖσα δὲ[4] διὰ[5] τοῦ ἁγίου βαπτίσματος, ἦν σχολάζουσα ἡ παῖς εἰς τὸ ἀνῆμα τῆς ἁγίας Ἑρμιονης[6], μιᾶς τῶν θυγατέρων Φιλίππου τοῦ ἀποστόλου,[7] μύρον ἐκ τοῦ τάφου αὐτῆς ὑποδεχομένη καὶ πᾶσιν ἀφθόνως χορηγοῦσα, ἐκεῖθεν γὰρ καὶ[4] τοῦ ὀνόματος τούτου τετύχηκε. Δεκίου δὲ τότε βασιλεύοντος[8] καὶ διωγμὸν κατὰ τῶν χριστιανῶν κινήσαντος, ἡ μήτηρ λαβοῦσα τὴν παῖδα[9], τὴν τῆς Χίου νῆσον κατέλαβε[10], γονικὴν κληρονομίαν, ὡς ἐξ αὐτῆς γενομένη[11], ἔχουσα καὶ[12] ὑπῆρχον[13] ἄμφω ἐν τῇ οἰκίᾳ προσμένουσαι καὶ τῷ Θεῷ καθ' ἑαυτὰς προσευχόμεναι. Καταλαβόντος δὲ[14] ἄρχοντός ποτε[12] τινος ἐν τῇ αὐτῇ[12] νήσῳ τῆς Χίου, ἐκρατήθη ὁ μακάριος Ἰσίδωρος[15] ὡς χριστιανός, ἀπὸ τοῦ αὐτοῦ στρατιωτικοῦ ὢν τάγματος[16], ἀνὴρ εὐλαβὴς καὶ θαυμάσιος, ὃν καὶ ἐπειρᾶτο ὁ ἄρχων ἀποστῆσαι τῆς εἰς Χριστὸν

— [2] πλήρης Cc.
[1] Μυρόπης M, Mv. — [2] δὲ *add.* Mv. — [3] καὶ *add.* Mv. — [4] *om.* Mv. — [5] παρὰ Mv. — [6] Ἑρμειόνης Mv. — [7] τοῦ ἁγίου ἀποστόλου Φ. Mv. — [8] τοῦ δὲ βασιλέως Δ. τότε κρατοῦντον Mv. — [9] τὴν παῖδα λαβοῦσα Mv. — [10] καὶ *add.* Mv. — [11] γενομένην Mv. — [12] *om.* Mv. — [13] καὶ *add.* Mb. — [14] καταλαβόντες δὲ Mb, ποτὲ δὲ καταλαβόντος Mv. — [15] Ἰσήδωρος Mb, ὡς χριστιανὸς ὁ μακάριος I. Mv. — [16] τάγματος ὤν Mv.

μικρόν τι προφαίνων τῆς κόμης καὶ οὐκ ἐν χρῷ κουρίας, οὔλην τὴν τρίχωσιν τοῦ μετώπου ἔχων, ἐπὶ τῆς κεφαλῆς καὶ τοῦ πώγωνος[11] λευκαῖς κατεσπαρμένος θριξί[12].

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ὁσίων πατέρων ἡμῶν[1] μοναχῶν καὶ ἐρημιτῶν Ἰωάννου, Ἡρακλάμωνος[2], Ἀνδρέου καὶ Θεοφίλου. Οὗτοι ὥρμηντο ἐκ πόλεως λεγομένης Ὀξυρύγχου, χριστιανῶν γονέων ὑπάρχοντες τέκνα καὶ ἐν αὐταρ-
f. 95. κείᾳ βιούντων. Καὶ ὑπ' αὐτῶν ἀναγόμενοι καὶ παιδευόμενοι, εἰς τὴν διατριβὴν τῶν ἱερῶν | γραμμάτων ἐκπέμπονται κἀκεῖσε τὰ πεζὰ τῶν γραμμάτων διεξελθόντες καὶ συχνὸν χρόνον τῇ ἀναγνώσει προσσχόντες καὶ ἐν κατανύξει γενόμενοι Θεοῦ προνοίᾳ, μιᾷ γνώμῃ καὶ βουλῇ συνδεθέντες καὶ διάπυρον <τὸν πρὸς Θεὸν[3]> ἔρωτα σχόντες, κατὰ τὴν ἐνδοτέραν ἔρημον γίνονται ὑπὸ Θεοῦ ὁδηγούμενοι, ᾧ καὶ τὰς ἑαυτῶν ψυχὰς ἀνέθεντο. Εὑρόντες δὲ ἐκεῖσε ἐκ παραδόξου ἄνδρα ἅγιον καὶ εἰς βαθὺ γῆρας ἐληλακότα[4], ἔμειναν παρ' αὐτῷ χρόνον διδασκόμενοι καὶ ἐναγόμενοι πρὸς τελειότητα. Ἐκείνου δὲ τὸν βίον ἀπολιπόντος καὶ ταφῇ παραδοθέντος, ἔμειναν[5] οὗτοι ἐν τῷ τόπῳ σκληραγωγίᾳ καὶ νηστείᾳ ἑαυτοὺς ὑποβάλλοντες καὶ μηδ' ὅλως ἄρτου γευόμενοι· βρῶσις δὲ αὐτοῖς ὑπῆρχεν ὀπῶραι καὶ ὕδατος τὸ ἀρκοῦν· καὶ τοῦτο ἐποίουν διὰ τῆς ἑβδομάδος. Ὁ δὲ τόπος ἐκεῖνος διαφόρων ὀπωρῶν ἦν μεστός· οὗτοι δὲ καθ' ἑκάστην ἐχωρίζοντο ἐν διαφόροις ὄρεσι καὶ σπηλαίοις ἀσκοῦντες καὶ προσευχόμενοι καὶ καταμόνας τῷ Θεῷ συγγινόμενοι· σαββάτῳ δὲ καὶ κυριακῇ εἰς ἓν συνερχόμενοι καὶ τὴν προσήκουσαν εὐχαριστίαν ἀποτελοῦντες[6], παρὰ θείου ἀγγέλου τῆς ἁγίας κοινωνίας ἐν μεθέξει ἐγίνοντο, ὑμνοῦντες καὶ εὐχαριστοῦντες τῷ Θεῷ καὶ πολλῆς τῆς εὐωδίας αἰσθόμενοι καὶ χαρᾶς ἀνεκφράστου. Ταῦτα ἐδιηγήσατο[7] ὁ μέγας ἐρημίτης Παφνούτιος, ὁ καὶ αὐτόπτης καὶ θεωρὸς τῶν τοιούτων γενόμενος, λέγων μέχρι τῆς αὐτοῦ ἐν τῇ ἐρήμῳ ἐνδημίας ἐξ χρόνους τούτους διηνυκέναι. Ὃς καὶ γράψας ταῦτα τῇ Αἰγυπτίων[8] κατέθετο ἐκκλησίᾳ εἰς ὠφέλειαν τῶν ἐντυγχανόντων καὶ δόξαν Θεοῦ.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου Μωσὴ[1] τοῦ ὁμολογητοῦ.

4. Καὶ τὰ ἐγκαίνια τοῦ ναοῦ τοῦ ἁγίου Παντελεήμονος[1].

— [11] μετώπου Sa. — [12] τελεῖται δὲ κτλ. *add.* Sa *inter* Synaxaria selecta.
2. — [1] *om.* Sa. — [2] Ἡρακλάμβωνος Sa. — [3] Sa, *om.* S. — [4] ἐληλαλακότα Sa. — [5] προσεκαρτέρησαν Sa. — [6] τελοῦντες — [7] διηγήσατο Sa. — [8] Αἰγυπτίω Sa.
3. — [1] Μωσεῖ Sa.
4. — [1] ταῖς αὐτῶν πρεσβείαις *add.* Sa.

πίστεως. Ὡς[17] οὐκ ἐπείθετο, μετὰ πολλὰς τὰς βασάνους τὸν διὰ ξίφους κατεδικάσθη θάνατον. Ἀπορριφέντος δὲ τοῦ ἁγίου[18] ἐν φάραγγί τινι[19] εἰς βορὰν ὀρνέων, καὶ φυλάκων παρακαθημένων τῷ λειψάνῳ[20] κατὰ τὴν τοῦ ἄρχοντος πρόσταξιν, ἡ ἁγία[21] Μυρώπη, θείῳ ζήλῳ τρωθεῖσα, νυκτὸς μετὰ τῶν θεραπαινίδων αὐτῆς ἀπελθοῦσα[22], τὸ ἅγιον ἀνελάβετο λείψανον, καὶ ἐντίμως μυρίσασα ἐν ἐπισήμῳ τόπῳ ἀπέθετο. Μαθὼν δὲ ὁ ἄρχων τὴν τοῦ λειψάνου κλοπήν, τοὺς φύλακας σιδήροις δεσμήσας[23], προσέταξεν ἀνὰ πᾶσαν τὴν νῆσον περιπολοῦντας ἐρευνᾶν, ἐπειπὼν <ὡς[24]> εἰ μὴ εὕροιεν τὸ κλαπὲν ἐντὸς τῆς δοθείσης αὐτῶν[25] προθεσμίας, κεφαλικῶς αὐτοὺς τιμωρηθῆναι. Τότε ἡ ἁγία βλέπουσα καθ' ἑκάστην τοὺς στρατιώτας[26] οὐ φορητῇ προσπαλαίοντας τιμωρίᾳ[27] ὑπό τινων[28] ἐπικειμένων αὐτοῖς σιδήρων <καὶ[29]> τῆς ἐκ τούτων κακοπαθείας καὶ τῆς ἐπακολουθούσης κεφαλικῆς τιμωρίας, ἔπαθε τὴν ψυχὴν τοιάδε[30] πρὸς ἑαυτὴν ὑποψιθυρίζουσα· « Ἐὰν οὗτοι διὰ τὴν ἐμὴν κλοπὴν πάθωσιν, » ἀνάγκη πάντως σπιλωθῆναί μου τὴν ψυχήν· καὶ οὐαί μοι ἐν τῷ κρίνεσθαι. » Καὶ παρευθὺ λέγει τοῖς στρατιώταις· « Ὦ φίλοι, ὃ ἀπωλέσατε λείψανον ἐγὼ ἀνελαβόμην, ὑμῶν κοιμωμένων. » Οἱ γοῦν στρατιῶται λαβόντες ταύτην[31], παρέστησαν τῷ ἄρχοντι λέγοντες· « Αὕτη ἐστί, κύριε, ἡ τὸν βιοθανῆ » γέροντα κλέψασα. » Ὁ δὲ ἄρχων πρὸς τὴν ἁγίαν· « Ἀληθῆ εἶσι τὰ περὶ σοῦ λεγόμενα; » Καὶ ἡ ἁγία· « Ἀληθῆ. » Ὁ ἄρχων εἶπεν· « Καὶ πῶς ἐποίησας τοῦτο[32], ἐπικατάρατον γύναιον[33]; » Ἡ μάρτυς εἶπε· « Καταπτύουσα καὶ καταφρονοῦσα[34] τῆς σῆς ταλαιπωρίας καὶ ἀθεότητος. » Ταῦτα οὐ μικρῶς ἐξέμηναν τὸν σοβαρὸν ἐκεῖνον ἄρχοντα· καὶ εὐθέως προσέταξε ῥοπάλοις αὐτὴν[35] ἀφειδῶς τύπτεσθαι κατὰ παντὸς μέλους[36], εἶθ' οὕτως ἕλκεσθαι[27] ἀνὰ πᾶσαν τὴν πόλιν ἀπὸ τῶν πλοκάμων τῆς κεφαλῆς αὐτῆς[37], καὶ τύπτεσθαι κατὰ παντὸς μέλους[38]. Καὶ τούτου γενομένου, ἡμιθανῆ ἐν τῇ φυλακῇ τὴν μάρτυρα[39] ἀπορρίψαντες, διὰ τῶν φυλάκων κατησφαλίσαντο. Περὶ δὲ τὸ μεσονύκτιον, εὐχομένης τῆς ἁγίας, φῶς μέγα περιέλαμψεν ἅπαν τὸ οἴκημα, καὶ χορὸς ἀγγέλων ἐπέστη, καὶ μέσον τούτων ὁ ἅγιος Ἰσίδωρος. Αἰνούντων δὲ[27] τὸν τρισάγιον ὕμνον[29], ὁ ἅγιος τῇ μάρτυρι ἀτενίσας Μυρώπῃ· « Εἰρήνη σοι, ἔφη, » ἤγγικε γὰρ ἡ δέησίς σου πρὸς τὸν Θεόν· καὶ ἰδοὺ νῦν ἔρχου μεθ' ἡμῶν, καὶ λήψῃ τὸν ἡτοιμασμένον » σοι στέφανον. » Καὶ ἅμα τῷ λόγῳ παρέδωκε τὸ πνεῦμα τῷ Κυρίῳ, καὶ γέγονε τὸ οἴκημα πλῆρες ἀφάτου εὐωδίας, ὡς καὶ τοὺς φύλακας καταπλαγῆναι καὶ ἐξεστηκότας σχεδὸν γενέσθαι. Ταῦτα οὕτως ἡμῖν διηγήσατο[40] καὶ πάντα ἰδὼν[41] καὶ ἀκούσας· καὶ διὰ τοῦτο προσελθὼν καὶ βαπτισθεὶς καὶ τὸ τῆς μαρτυρίας στέφος ἀναδησάμενος[42]. Τὸ δὲ τῆς ἁγίας λείψανον χριστιανοὶ λαβόντες τῇ τοῦ Χριστοῦ[43] προστάξει, ἐν ἐπισήμῳ τόπῳ κατέθεντο. — Θεοδούλου (Dec. 3[5]). — Θεοδούλου (Dec. 3[6]). — Θεοδώρου (Dec. 3[1]). — Τῶν ὁσίων πατέρων ἡμῶν τῶν ἐν Αἰγύπτῳ Ἰωάννου, Ἀνδρέου, Θεοφίλου. — 3. — **Mr** : 1.

— [17] ὡς δ' Mv. — [18] τοῦ δὲ ἁγίου ἀπορριφέντος Mv. — [19] τινι φάραγγι Mv. — [20] τῶν λειψάνων Mb. — [21] ὁσία Mv. — [22] προσελθοῦσα Mv. — [23] καταδεσμήσας Mv. — [24] Mv, *om.* Mb. — [25] Mv, αὐτῷ Mb. — [26] ταλαιπωρία *add.* Mv. — [27] *om.* Mv. — [28] τε τῶν Mv. — [29] Mv, *om.* Mb. — [30] τοιαῦτα Mv. — [31] ταύτην συλλαβόντες Mv. — [32] καὶ πῶς ἐτόλμησας Mv. — [33] τοιαῦτα καταπράξαι *add.* Mv. — [34] καταφρονοῦσα καὶ καταπτύουσα Mv. — [35] αὐτὴν ῥοπάλοις Mv. — [36] κατὰ παντὸς μέλους *add.* Mv. — [37] περιάγεσθαι Mv. — [38] τοῦ σώματος Mv. — [39] τὴν μάρτυρα ἐν τῇ φυλακῇ Mv. — [40] ὁ ἐπαγρυπνῶν τότε *om.* Mv. — [41] εἰδὼς Mv. — [42] Mv, ἀναδυσάμενος Mb. — [43] ἄρχοντος Mv.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Γ'.

Dec. 3.

1. Μνήμη τοῦ ἁγίου καὶ ἐνδόξου [1] προφήτου Σοφονίου [2]. Οὗτος ἑρμηνεύεται σκοπιὰ Κυρίου ἢ συνιεὶς κρυπτά. Ὅς [3] ἦν υἱὸς Χουσὶ [4] ἐκ φυλῆς Συμεών, ἀγροῦ Σαβάραθρα [5]· καὶ προεφήτευσε περὶ τῆς πόλεως Ἱερουσαλὴμ καὶ περὶ τοῦ τέλους Ἰσραὴλ καὶ ἀντεισαγωγῆς καὶ σωτηρίας τῶν ἐθνῶν καὶ αἰσχύνης τῶν ἀσεβῶν καὶ δόξης τῶν δικαίων καὶ τοῦ κριτοῦ πάσης πνοῆς· καὶ θανὼν ἐν εἰρήνῃ ἐτάφη ἐν τῷ ἀγρῷ αὐτοῦ. Ἦν δὲ ὅμοιος Ἰωάννῃ τῷ θεολόγῳ, μικρὸν τὸν πώγωνα στρογγυλίζων.

f. 95v. 2. | Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἴνδη καὶ Δόμνας, Σελεύκου, Ἀγαπίου, Μάμαντος, Γλυκερίου, καὶ τῆς συνοδίας αὐτῶν.

3. Καὶ τῶν ἁγίων σαράκοντα ἐν Σοφιαναῖς, ἤτοι ἐν τοῖς Δαρείου.

4. Καὶ [1] ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Θεοδώρου ἐπισκόπου Ἀλεξανδρείας. Τοῦτον τὸν ἅγιον οἱ Ἀλεξανδρεῖς ἐστεφάνουν ἀκάνθαις, ἔτυπτον κατὰ κόρρης, ἐπεκερτόμουν, ἐχλεύαζον, ἐγέλων· ὕστερον δὲ ῥίπτουσιν αὐτὸν ἐν τῇ θαλάσσῃ πρὸ ἑπτὰ σημείων τῆς [2] Φάρου· ἐξελθὼν δὲ ἐκεῖθεν σῶος καὶ ἀχθεὶς τῷ ἄρχοντι τέμνεται τὴν κεφαλὴν ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ.

5. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου καὶ δικαίου Θεοδούλου. Ὅς ἐγένετο ἐν Κύπρῳ, ἐκ πρώτης ἡλικίας τῷ κόσμῳ ἀποταξάμενος καὶ δι' ἄκραν ἄσκησιν καὶ ταπείνωσιν προβλέπειν ἑκάστου τῶν προσιόντων τὰς διαθέσεις ἀξιωθείς· σχηματισάμενος δὲ μωρίαν, πολλοὺς διήλεγχε καὶ πρὸς μετάνοιαν ἐπέστρεφεν. Οὕτω τὸν βίον καλῶς ἀμείψας, ἐν εἰρήνῃ τὸ πνεῦμα τῷ Κυρίῳ παρέθετο.

6. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη ἑτέρου ὁσίου πατρὸς ἡμῶν Θεοδούλου. Ὅς ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Θεοδοσίου τοῦ εὐσεβεστάτου καὶ μεγάλου βασιλέως, πατρίκιος, ἀνὴρ πάσῃ ἀρετῇ καὶ συνέσει κεκοσμημένος, οὗτινος τὸ πρᾶον καὶ τὸν ἔνθεον ζῆλον καὶ τὸ καθαρὸν τοῦ βίου καὶ ἀνεπίληπτον βλέπων ὁ βασιλεὺς εἰς τὴν τῆς ἐπαρχότητος [1] ἀρχὴν προεστήσατο αὐτόν [2]. Ἐπεὶ οὖν ἐσκόπει καὶ μάλιστα παρὰ τῶν δυναστευόντων γινομένας ἁρπαγὰς καὶ πλεονεξίας καὶ πᾶσαν ἐπιβοσκομένην κακίαν, ἐν τοῖς τοιούτοις, μὴ στέγων ὁρᾶν αὐτούς, ἀπεβάλλετο τὴν ἀρχήν, πολλὰ καὶ τοῦ βασιλέως αὐτὸν ἱκετεύσαντος [3] καὶ τῆς γυναικὸς μὴ ἀνεχομένης· οὔπω γὰρ διῆλθον χρόνοι δύο ἀφ' ἧς ἡμέρας συνεζεύχθησαν. Ἐπεὶ οὖν ἡ γυνὴ αὐτοῦ συντόμως μετέστη τοῦ βίου, αὐτὸς λαβὼν πᾶσαν τὴν περιουσίαν αὐτῆς, ὑπάρχουσαν λιτρῶν πεντακοσίων πεντήκοντα [4], χήραις καὶ ὀρφανοῖς διέδωκε καὶ μοναστηρίοις καὶ γηροκομείοις καὶ ξενῶσι τὰ πλεῖστα παρέσχετο· ὡσαύτως καὶ τὴν ἰδίαν ὕπαρξιν καλῶς διέθηκεν ἄπειρον οὖσαν, καὶ τῆς βασιλίδος ἀπάρας [5] τὴν Ἔδεσαν [6] καταλαβὼν καὶ ἐπί τινος κίονος ἀναβάς, ἔτος ἄγων τῆς ἡλικίας σαρακοστὸν [7] δεύτερον, τὸν μονα|στὴν ὑπῆλθε f. 96. βίον, τῇ σκληραγωγίᾳ καὶ τῇ τοῦ ἀσκητικοῦ βίου τραχύτητι κατατρύχων τὸ σῶμα. Τριάκοντα δὲ χρόνους ἐν τῷ κίονι πληρώσας καὶ θείων χαρισμάτων καταξιωθείς, οὐκέτι μετελάμβανε τροφῆς παχυτέρας, ἀλλ' ἢ μόνον κατὰ κυριακὴν τοῦ τιμίου σώματος τοῦ Κυρίου καὶ αἵματος καὶ μικρόν τι τῆς ἁγίας ἀναφορᾶς. Καὶ οὕτως διετέλεσεν ὁ ἀδάμας ἑπτά που μῆνας ἐπὶ σαράκοντα [8] ἔτεσι [9]. Μετὰ ταῦτα ὠχλήθη, ὡς ἔλεγεν, ὑπὸ λογισμῶν καὶ παρεκάλει τὸν Θεόν· « Δέσποτα φιλάνθρωπε, » φάσκων [10], « εἴτε τῷ ἁγίῳ καὶ ἐνδόξῳ σου ὀνό- » ματι [11] εὐηρέστησα, ἐμφάνισόν μοι τῷ δούλῳ » σου, τίνι τῶν ἐν τῷ βίῳ κακοπαθησάντων διὰ » τὸ σὸν ὄνομα παρεξητάσθην. » Καὶ θεία φωνὴ πρὸς αὐτόν· « Ἴσχυε καὶ ἀνδρίζου, λέγουσα, ἠγα- » πημένε Θεόδουλε· ἴσος γὰρ εἶ ἐν τῇ βασιλείᾳ μου » μετὰ Κορνηλίου τοῦ μίμου τοῦ λεγομένου Παν- » δούρου, τοῦ ἀπὸ Δαμασκοῦ τῆς πόλεως. » Ταῦτα ἀκούσας ὁ γέρων, ἐξέστη ἀθυμίᾳ παραλυθεὶς καὶ κατελθὼν τοῦ κίονος τὸν Κορνήλιον κατέλαβε· καὶ τοῖς ποσὶν αὐτοῦ κυλινδούμενος ἐζήτει μαθεῖν τὴν αὐτοῦ πολιτείαν [12]. Ὁ δὲ ἀναγκαζόμενος ἐξεῖπεν· « Ἐγώ, φησίν, πάτερ, ἐκ νηπίου μίμοις καὶ » ἀγύρταις συναναστραφεὶς [13] πάντα τὸν χρόνον » ἐκεῖθεν ἔσχον τὰ τῆς ζωῆς μου ἐφόδια· καὶ ὀψέ » ποτε εἰς ἔννοιαν ἐλθὼν τῶν πολλῶν μου κακῶν » καὶ τῆς μελλούσης κρίσεως, πάντων τῶν κακῶν » ἀπεσχόμην καὶ τοῦ καθαροῦ βίου κατὰ τὸ δυνα- » τὸν ἐπιμελοῦμαι, τῆς ἐλεημοσύνης φροντίζων. » Ὡς δὲ ἐνέκειτο καὶ πάλιν ὁ γέρων παρακαλῶν αὐτὸν καὶ ἐνορκῶν εἰπεῖν καὶ τὰ ἑξῆς· « Ἄκουσόν » μου, δέσποτα καὶ κύριε, ἔφη· γυνή τις περιφανὴς

1. — [1] καὶ ἐνδόξου *om.* Sa. — [2] Σοφωνίου S. — [3] οὗτος Sa. — [4] Χουσὴ S. — [5] S, Sa, *al.* Σαβαραθά, Σαραβαθᾶ, Nestle, *pp. 26, 27*.
4. — [1] τῇ αὐτῇ ἡμέρα Sa. — [2] τοῦ Sa.
6. — [1] ἐπαρχήτητος S. — [2] αὐτὸν προεστήσατο Sa. — [3] ἱκετεύσαντος αὐτὸν Sa. — [4] φ' λιτρῶν καὶ πεντήκοντα Sa. — [5] καὶ *add.* Sa. — [6] Ἔβεσσαν Sa. — [7] τεσσαρακοστὸν Sa. — [8] *immo* μβ' *in margine adscripsit D. Papebrochius.* — [9] ἔτη Sa. — [10] λέγων Sa. — [11] ὀνόματί σου Sa. — [12] πολιτείαν αὐτοῦ Sa. — [13] συνανατραφεὶς Sa.

Dec. 3. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. 6. — **Sb** : deest. — **H** : 4. 1. 5. — Κοσμᾶ καὶ Δαμιανοῦ. — 2. 3. — **P** : 4. 5. 1. 2 (om. Γλυκερίου). — 3. — Γλυκερίου. — **Da** : 1. 5. 6 (= Ba). — **Db** : 1. 6. — **F** : 1. 4. 5. 2 et 3 : Ἴνδη ... καὶ Γλυκερίου καὶ τῆς συνοδίας αὐτῶν ἐν Σοφιαναῖς. — 6. — **Fa** : 1. 4. 5. 2 et 3 : Ἴνδη ... καὶ Γλυκερίου καὶ τῆς συνοδίας αὐτῶν τεσσαράκοντα ἐν Σοφιαναῖς. — 6. — **B** : 4. 1. 5. — **Ba** : 1. 5 (= S). 6 : Θεοδούλου. Ὅς ἦν ἐπὶ τῆς βασιλείας Θεοδοσίου τοῦ μεγάλου, πατρίκιος καὶ ἔπαρχος πραιτωρίων... Des. : καὶ μικρὸν ἐπιβιώσας χρόνον, μετὰ χρηστῆς ἐλπίδος πρὸς Κύριον ἐξεδήμησεν. — **Bb** : 4. — Τοῦ ὁσίου Θεοδούλου. — **T** : 1. — **L** : 1. — **Q** : 1. 5. — **C** : 6. 1. 5. — Μνήμη τῶν ἁγίων καὶ θαυματουργῶν Κοσμᾶ καὶ Δαμιανοῦ. — 2. — **Cb** : 1. 4. 5. — **Cc** : 6. 1. 5. — Κοσμᾶ καὶ Δαμιανοῦ. —

» καὶ δόξῃ κοσμουμένη καὶ κάλλει περιαστραπτο- » μένη ἀνδρί τινι πρὸς γάμον ἐξεδόθη· ὃς ἀκολά- » στου καὶ δαπανηρᾶς τυχὼν προαιρέσεως, οὐ » μόνον τῆς γυναικὸς τὴν περιουσίαν κατηνάλωσε » καὶ τὴν ἰδίαν, ἀλλὰ καὶ ἕτερα προσδανεισάμενος » κατέφαγε· διὸ καὶ τῇ εἱρκτῇ ἐνεκλείσθη πολὺν » χρόνον, ἀπαραμύθητον τῇ γυναικὶ τὴν συμφορὰν » ἐπενεγκών. Ἥτις βλέπουσα τὸν ἐλεεινὸν ἐκεῖνον » λιμαχονούμενον, καὶ αὐτὴν τὴν ψυχὴν ἀπελέ- » γετο· ὅμως ἤρξατο προσαιτεῖν, ὡς ἐπὶ τρυτάνης » σαλεύουσα τὴν ψυχήν. Καὶ φοβουμένη τὸν τῆς f. 96v. » πορνείας ὄλισθον διὰ τὸ εἶναι εὐ|πρόσωπος, » ταύτῃ περιτυχὼν ἐγὼ διηπόρουν πρὸς τὸ ξένον » τοῦ θαύματος [14] ὅτι τὰς μὲν χεῖρας ἥπλου πρὸς » τὸ λαβεῖν, τὸ δὲ πρόσωπον εἶχεν ὀπισθοφανῶς. » Μαθὼν δὲ τὴν αἰτίαν, ἤλγησα τὴν ψυχὴν καὶ » δακρύων εἶπον· Πόσον τὸ χρέος, γύναι; ἡ [15] δέ· » τετρακόσια νομίσματα, δέσποτα. Ἐγὼ δὲ ἀκριβο- Dec. 3. » λογήσας ἑαυτόν, εὗρον παρ' ἐμαυτῷ νομίσματα » διακόσια τριάκοντα καὶ μὴ ἀρκοῦντα πρὸς τὸ » ποσόν· διαπωλήσας τοίνυν [16] κινητά τινα εἶδη » καὶ κόσμια, συνήγαγον ἕτερα νομίσματα ἑβδο- » μήκοντα· καὶ πάλιν ἰδὼν ἐλλείποντα, ἐκβαλὼν [17] » τῶν ἐνδυμάτων τὰ κάλλιστα καὶ τὸν περιτραχή- » λιον ὁρμίσκον καὶ σινδόνι περιειλήσας [18], δέδωκα » εἰς τὰς χεῖρας τῆς γυναικὸς εἰπών· Λάβε ταῦτα, » γύναι, καὶ ἄπελθε ἐν εἰρήνῃ καὶ τὸν σὸν ἄνδρα » τῆς φυλακῆς ἐλευθέρωσον, δυσωποῦσα ἐξ ὅλης » τῆς καρδίας τὸν φιλάνθρωπον Θεὸν ἐλεῆσαί με » ἐν ἡμέρᾳ κρίσεως. » Ταῦτα ἀκούσας ὁ Θεόδουλος καὶ ὑπερθαυμάσας τῷ Θεῷ εὐχαρίστησε. Καὶ πάλιν ἀνελθὼν [19] ἐπὶ τοῦ κίονος καὶ μικρὸν ἐπιβιώσας χρόνον, μετὰ χρηστῆς ἐλπίδος ἐν εἰρήνῃ τὸ πνεῦμα αὐτοῦ τῷ Θεῷ παρέθετο.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Δ'.

1. Ἄθλησις τῆς ἁγίας μεγαλομάρτυρος Βαρβάρας. Αὕτη ἦν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως τῶν ἀφ' ἡλίου ἀνατολῶν, θυγάτηρ Διοσκόρου τινὸς Ἕλληνος, ἐν ὑψηλῷ τινι πύργῳ παρὰ τοῦ πατρὸς φυλαττομένη διὰ τὴν ἐπανθοῦσαν αὐτῇ σωματικὴν ὡραιότητα. Παρθένος δὲ οὖσα καὶ τὸν Χριστὸν σεβομένη, οὐ διέλαθε τὸν πατέρα. Γνοὺς δὲ τὰ κατ' αὐτὴν ἐξ ὧν ἐκεῖνος μὲν ἐπὶ τῷ ἀνοικοδομουμένῳ λουτρῷ παρ' αὐτοῦ δύο θυρίδας εἶπε γενέσθαι, ἡ δὲ προσέταξε τρεῖς· καὶ τὴν αἰτίαν ἐρωτηθεῖσα ἐπ' ὀνόματι εἶπε τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, εὐθὺς μὲν ἠθέλησεν τῷ ἰδίῳ [1] ξίφει αὐτὴν ἀνελεῖν. Ἐκφυγούσης δὲ αὐτῆς καὶ εἰς διαιρεθεῖσαν πέτραν ὑπεισελθούσης καὶ εἰς τὸ ὄρος διεξελθούσης [2], ἐπεὶ καταδιώκων ὁ πατήρ, τινῶν μηνυσάντων, εὗρεν αὐτήν, κατέστησε ταύτην τῷ τῆς χώρας ἡγεμόνι [3]· οὗ κατενώπιον ὁμολογήσασα τὸν Χριστὸν καὶ τὰ εἴδωλα καθυβρίσασα, τύπτεται δεινῶς καὶ τὰς σάρκας ξέεται καὶ κατα- Dec. φλέγεται τὰς πλευρὰς καὶ σφαίραις κατὰ τῆς κεφαλῆς παίεται· εἶτα γυμνὴ τὴν πόλιν περιάγεται καὶ τύπτεται | καὶ τὴν διὰ ξίφους δέχεται τελευτήν, f. 97. αὐτοῦ τοῦ πατρὸς ταῖς ἰδίαις χερσὶν ἀνελόντος αὐτήν. Ὅς λέγεται μετὰ τὴν ταύτης σφαγὴν ἐκ τοῦ ὄρους κατερχόμενος κεραυνόβλητος γενέσθαι καὶ τὴν ψυχὴν ἀπορρῆξαι. Τελεῖται δὲ ἡ αὐτῆς σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῆς τῷ ὄντι ἐν τοῖς Βασιλίσκου πλησίον τῆς ἁγίας Ζηναΐδος.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου μοναχοῦ καὶ πρεσβυτέρου τοῦ Δαμασκηνοῦ. Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Λέοντος τοῦ Ἰσαύρου καὶ Κωνσταντίνου τοῦ υἱοῦ αὐτοῦ [1], ἐκ Δαμασκοῦ τῆς πόλεως [2], γένους περιφανοῦς. Τυχὼν δὲ φιλαρέτου πατρός, ἐπαιδεύθη πᾶσαν τὴν ἐγκύκλιον παίδευσιν, καὶ τὸν βυθὸν τῆς θεοπνεύστου γραφῆς καλῶς ἐξηρεύνησε· διὰ δὲ

— [14] πράγματος Sa. — [15] οἱ S. — [16] *om.* Sa. — [17] ἐκβάλλω Sa, ἐκβαλλὼν S. — [18] καὶ κατακαλύψας *add.* Sa. — [19] ἐλθὼν Sa.
1. — [1] *om.* Sa. — [2] ἐξελθούσης Sa. — [3] εἰς ἐξέτασιν *add.* Sa.
2. — [1] τοῦ καὶ Κοπρωνύμου *add.* Sa. — [2] ὁρμώμενος *add.* Sa.

---

2. — **Cd** : 1. 4 (Θεοδώρου ἐπισκόπου Ἀγκύρας). — 5. — Κοσμᾶ καὶ Δαμιανοῦ. — 2. — **M** : deest. — Dec. 3. **Mv** : 1. 4. 6. — Ἰωάννου ἐπισκόπου Κολωνίας τοῦ ἡσυχαστοῦ (Dec. 7[4]). — 2 (Ἀγάπιος, Σέλευκος καὶ Μάμας). — **Mb** : 1. 4. 2 (Ἀγαπίου, Σελεύκου, Μάμαντος). — 5. 6. — Ἰωάννου ἐπισκόπου Κολωνείας. — **Mr** : 1.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. — **Sb** : 1. 2. 3. — **H** : 1. — Χριστοδούλου καὶ Μυρόπου. — Dec. 4. 4. 2. 5. — **P** : 1. — Χριστοδούλης καὶ Μυρόπης. — 4 : τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Γραπτοῦ. — 2. — **Da** : 1. 2 (= S, des. : καταλύει τὸν βίον). — 3. — **Db** : 1. 2. 3. — **F** : 1. 2 (... καταλύει τὸν βίον. Ἐκαλεῖτο δὲ Μανσοὺρ τῶν προγόνων αὐτοῦ τὴν τοιαύτην ἐχόντων ἐπίκλησιν. Ὁ δέ γε ἀοίδιμος κτλ.). — 3 : Ἰωάννου ἐπισκόπου Πολυβότου τοῦ θαυματουργοῦ καὶ ὁμολογητοῦ. Οὗτος παῖς ὢν καὶ νέος ἤδη γενόμενος, οὐ κατὰ παῖδας εἶχε τὸ φρόνημα οὐδὲ νεωτερικαῖς ἑάλω ἐπιθυμίαις, ἀλλὰ τρυφὰς ἐμίσει καὶ ἡδονὰς καὶ ὅσα νέων οἶδε θέλγειν ψυχάς· νηστείας [1] δὲ μᾶλλον εἴχετο καὶ γελώτων ἀπείχετο καὶ τῆς καλλίστης ἐφρόντιζε σωφροσύνης, βοηθὸν αὐτῇ συνάπτων τὴν ἐλεημοσύνην. Ὁ δὲ κατ' ἐκεῖνο [2] καιροῦ τὸν ἱεραρχικὸν ἰθύνειν λαχὼν θρόνον, προβλέπων τὴν κατάστασιν καὶ τὸ ἦθος τοῦ νέου, τῆς ὑπ' αὐτὸν ἐκκλησίας κλήρῳ τοῦτον καταλέγει· ἔπειτα καὶ τῶν ἱερῶν σκευῶν φύλακα δείκνυσι· καὶ [3] μετ' οὐ πολὺ καὶ ἐπίσκοπος Πολυβότου χειροτονεῖται. Ἤδη δὲ λαοῦ πιστευθεὶς προστασίαν, ἀγῶνας ἀγῶσι προσετίθη καὶ κόποις κόπους. Ἐπεὶ γὰρ Λέων ὁ ἐξ Ἀρμενίας ἔλκων τὸ γένος, τυραννήσας μετά γε τῆς βασιλείας καὶ τὴν εὐσέβειαν, ἐκίνει γλῶσσαν μεγαλορρήμονα κατὰ τῶν ἱερῶν

[1] νηστείαις F. — [2] ἐκείνου F. — [3] οὐ *add.* F.

Dec. 4. τὴν εἰς Χριστὸν πίστιν τὸν πατρικὸν πλοῦτον καταλιπών, τὸν μονήρη βίον ἠσπάσατο μετὰ τοῦ μακαρίου Κοσμᾶ, τοῦ γεγονότος ὕστερον ἐπισκόπου Μαϊουμᾶ. Οἱ [3] θεόθεν ἐμπνευσθέντες διά τε τροπαρίων ἄλλων καὶ κανόνων πλείστων τό τε θεῖον καὶ τὴν Θεοτόκον καὶ πολλοὺς τῶν ἁγίων ἐξύμνησαν· καὶ εἰσέτι τὰ αὐτῶν μελῳδήματα ᾄδονται πᾶσιν θεῖον ἐντρύφημα προκείμενα. Ἐπίσης οὖν καὶ ἄμφω τὴν ἄσκησιν μετελθόντες, ὁ μὲν ὅσιος Ἰωάννης τῇ τῶν λόγων αὐτοῦ δυνάμει καὶ ταῖς τῶν γραφῶν σοφαῖς ἀποδείξεσι πλεῖστα στηλιτεύσας τὴν δυσσεβῆ τῶν εἰκονομάχων αἵρεσιν καὶ πολλὰ συγγράμματα καταλελοιπώς, δι' ὧν σχεδὸν πάντη τοῦ ζητουμένου γνῶσις ἐναργὴς εὑρίσκεται, ἐν γήρᾳ πίονι καταλύει τὸν βίον [4]. Ὁ δέ γε ἀοίδιμος Κοσμᾶς πλεῖστα καὶ αὐτὸς τῇ θείᾳ γραφῇ ἐμμελετήσας καὶ πολλὰ συγγράμματα τῇ ἐκκλησίᾳ καταλελοιπώς [5] ἐν εἰρήνῃ τὸν βίον ἀπέλιπε.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου ἐπισκόπου Πολυβότου τοῦ θαυματουργοῦ καὶ ὁμολογητοῦ. Οὗτος παῖς [1] ὢν τρυφᾶς ἐμίσει καὶ ἡδονάς, νηστείᾳ δὲ μᾶλλον καὶ σωφροσύνῃ καὶ ἐλεημοσύνῃ προσεῖχεν· ὅθεν καὶ ἐπίσκοπος Πολυβότου χειροτονεῖται, πρότερον τοὺς ἐκκλησιαστικοὺς βαθμοὺς ἐννόμως διελθών. Ἤδη δὲ λαοῦ προστασίαν πιστευθεὶς ἀῤῥῶνας ἀῤῥῶσι προσετίθει καὶ κόποις κόπους. Ἐπεὶ δὲ Λέων ὁ Ἀρμένης [2] ἀναξίως τῶν σκήπτρων τῆς βασιλείας ἐδράξατο καὶ κατὰ τῶν ἁγίων εἰκόνων βλασφημεῖν
f. 97v. ἐπεχείρησεν, ὁ ἱερὸς οὗτος | ἀνὴρ καταλαβὼν τὴν βασιλεύουσαν ἰσχυρῶς ἤλεγξεν αὐτοῦ τὴν ἀσέβειαν· εἶτα πρὸς τὸ ποίμνιον ἐπανελθὼν [3] τὴν πίστιν ἐξηκριβώσατο, παρασκευάσας ἑτοίμους εἶναι πάντας τὸ αἷμα ἐκχεῖν [4] ὑπὲρ τῆς εὐσεβείας. Οὕτως ἐκεῖνος βιούς, ἀπολιπὼν τὰ κάτω, πρὸς ὃν ἐπόθει μεταχωρεῖ· θαύματα δὲ πλεῖστα καὶ ζῶν καὶ μετὰ τὸ [5] τέλος εἰργάσατο. Τοὺς γὰρ Ἀγαρηνοὺς τὸ Ἀμόριον [6] παρακαθεζομένους καὶ αὐτὸ τὸ Πολύβοτον καὶ τὸν ναὸν λῃσαμένους ἰσχυρῶς, βουλομένους δὲ [7] καὶ τὸ τίμιον ἐκείνου λείψανον κατακαῦσαι, θεηλάτως ἦν πλήξας· καὶ τοῦ μὲν ἐπήρωσε τοὺς ὀφθαλμούς, τοῦ δὲ τὴν δεξιάν, ἄλλου τὴν ὄψιν διεστραμμένην ἔδειξεν. Ἐπεὶ δὲ οὗτοι μόλις ἔγνωσαν τοῦ κειμένου τὴν δύναμιν, εὐθὺς ἱκέται γίνονται καὶ πάντας ὅσους εἶχον χριστιανοὺς αἰχμαλώτους τῷ ἁγίῳ ἀπεχαρίσαντο. Καὶ πλεῖστα ἕτερα ἐπαγγειλάμενοι δοῦναι, τῆς ἰάσεως ἔτυχον. Τοσούτων δὲ χρόνων παραδραμόντων, ὁρᾶται εἰσέτι καὶ νῦν ἄφθαρτον τὸ τοῦ ἁγίου σῶμα. Καὶ κατὰ τὴν τῆς πεντηκοστῆς ἡμέραν ἀνιστῶσιν αὐτὸ καὶ τὴν ἀρχιερατικὴν στολὴν ἐνδύουσι καὶ τῇ θείᾳ τραπέζῃ προσερείδουσι· καὶ οὕτως ἵσταται ὄρθιον· καὶ τῷ συνθρόνῳ προσαναβιβάζοντες ὑπὸ δύο στηριζόμενον, καταλιμπάνουσιν οὕτω διὰ πάσης ἄπτωτον τῆς ἱερᾶς μυσταγωγίας ἱστάμενον. Τὰ δ' ἄλλα, ὅσα καὶ δαιμονῶντας θεραπεύει καὶ νόσους ἑτέρας, ἀδύνατόν ἐστιν ἡμῖν γραφῇ παραδοῦναι.

4. Τῇ αὐτῇ ἡμέρᾳ <μνήμη [1]> τοῦ ὁσίου πατρὸς ἡμῶν Γράτου ἀρχιεπισκόπου Ἐφέσου.

5. Καὶ τοῦ ἁγίου μάρτυρος Χριστοδούλου.

— [3] οἵτινες Sa. — [4] *hoc loco in* S *binae fere lineae deletae sunt, quarum haec supersunt vestigia :* ἐκαλεῖτο δὲ Μανσοῦρ τῶν προγόνων αὐτοῦ τὴν τοιαύτην ἐχομένων ἐπίκλησιν. — [5] (ἐν γήρᾳ - κατελοιπώς) *om.* Sa.
3. — [1] νέος Sa. — [2] Ἀρμένιος Sa. — [3] ἐλθὼν Sa. — [4] ἐκχέειν Sa. — [5] *supra lin.* Sa. — [6] Ἀμμόριον S. — [7] *om.* Sa.
4. — [1] Sa, *om.* S.

Dec. 4. εἰκόνων, ὁ ἱερὸς οὗτος ἀνὴρ καταλαβὼν τὴν βασιλεύουσαν, οὐκ ὄψιν αἰδεσθείς, οὐ μορφήν, μανικῶς καὶ γενναίως <καὶ [4]> ἰσχυρῶς αὐτοῦ ἤλεγξεν τὴν ἀσέβειαν· εἶτα πρὸς τὸ ποίμνιον ἐπανελθών, τὴν πίστιν ἐξηκριβώσατο, παρασκευάσας ἑτοίμους εἶναι πάντας τὸ αἷμα ἐκχεῖν ὑπὲρ τῆς εὐσεβείας. Οὕτως ἐκεῖνος βιοὺς ἀπολιπὼν τὰ κάτω, πρὸς ὃν ἐπόθει μεταχωρεῖ. Κατὰ δὲ τὸν καιρὸν ἐκεῖνον πλῆθος ἄπειρον τῶν Ἀγαρηνῶν τὸ Ἀμόριον καταδραμὸν καὶ αὐτὸ τὸ Πολύβοτον καὶ τὸν ναὸν ἰσχυρῶς λησάμενον, βουλόμενοι καὶ τὸ τίμιον ἐκεῖνο λείψανον κατακαῦσαι, ἐκεῖνο ἔμενεν ἄψαυστον καὶ ἀχείρωτον. Τούτων γὰρ ὁ μὲν ὀφθαλμοὺς πηροῦται, ὁ δὲ τὴν δεξιὰν πλήττεται, ἄλλος τὴν ὄψιν διαστρέφεται. Οὗ γενομένου, μόλις ἔγνωσαν τοῦ κειμένου τὴν δύναμιν. Καὶ εὐθὺς ἱκέται γίνονται τοῦ ἁγίου καὶ πάντας ὅσους χριστιανοὺς αἰχμαλώτους ἐπεφέροντο τῷ ἁγίῳ ἀπεχαρίσαντο· καὶ πλεῖστα ἕτερα ἐπαγγειλάμενοι δοῦναι, τῆς ἰάσεως ἔτυχον. Τοσούτων δὲ χρόνων παραδραμόντων, ὁρᾶται εἰσέτι τὸ σῶμα αὐτοῦ κρεῖττον [5] φθορᾶς καὶ ἄλυτον καὶ τοῖς μέλεσι συγκεκραμένον. Κατ' αὐτὴν γὰρ τὴν μεγάλην ἑορτὴν τῆς πεντηκοστῆς, ἡνίκα καὶ τὰ ἐγκαίνια τοῦ ναοῦ ἑορτάζουσιν, ἀνιστῶσιν τὸ ὁσίου σῶμα τῆς λάρνακος, καὶ τὴν ἀρχιερατικὴν ἀκολούθως πᾶσαν στολὴν ἐνδύουσιν· εἶτα διαβαστάσαντες τῇ θείᾳ τραπέζῃ προσερείδουσιν καὶ οὕτως ἵσταται ὄρθιον, μόνον οὐχὶ συμφθέγγεσθαι τῷ ἐπισκόπῳ ποιοῦντι τὴν λειτουργίαν ὑπονοούμενον· ἔπειτα καὶ τῷ συνθρόνῳ προσαναβιβάσαντες, ὑπὸ δύο στηριζόμενον καταλιμπάνουσιν, οὕτω διὰ πάσης ἄπτωτον τῆς ἱερᾶς μυσταγωγίας ἱστάμενον. Ἀλλ' ἀδύνατόν ἐστιν ἡμῖν τὰ τοῦ ἁγίου γραφῇ παραδοῦναι, ὅσα καὶ δαιμονῶντας ἰώμενος καὶ νόσους ἄλλας ὅσαι ὥραι θεραπεύων ὁρᾶται. — **Fa** : 1. 2. 3. — **B** : 1. — **Ba** : 1 (= S). 2 (= S). 3 (= S). — **Bb** : 1. — **T** : 1. 2. — **L** : 1. 2. — **Q** : 1. 2. — **C** : 1. 3. 5. 4. — Καὶ Χριστοδούλου ἑτέρου. — 2 : προεγράφη δὲ ἡ αὐτὴ διήγησις ὀπίσω εἰς τὰς κθ' τοῦ νοεμβρίου μηνός. — **Cb** : 1. 2. — **Cc** : 1. 3. 5. 4. — Χριστοδούλου ἑτέρου. — 2. (προεγράφη κτλ.). — **Cd** : 1. 5. 4. 2 (προεγράφη κτλ.). — **M** : deest. — **Mv** : 1. 2. 3. — ἡ ἁγία Ἰουλιανὴ ἔ. τ. — 5 : οἱ ἅγιοι Χριστόδουλος καὶ Χριστοδούλη ἔ. τ. — **Mb** : 1. — Ἰουλιανοῦ ἐπισκόπου Πολυβότου [6] τοῦ θαυματουργοῦ. — 4 (τῶν ὁσίων Γράτου καὶ Νόννου). — 2. — **Mr** : 1. 2.

— [4] *om.* F. — [5] κεῖττο F. — [6] Πολιβότου Mb.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ε'.

1. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Σάβα. Οὗτος ὑπῆρχεν ἐπὶ Θεοδοσίου τοῦ μικροῦ χώρας τῶν Καππαδοκῶν [1], κώμης [2] λεγομένης Μουταλάσκης, γονέων Ἰωάννου καὶ Σοφίας. Εὐθὺς οὖν ἐν ἀρχῇ τοῦ βίου πρὸς τὴν τοῦ μονήρους βίου κατάστασιν προσδραμών, ἐν μοναστηρίῳ Φλαβιαναῖς προσαγορευομένῳ τοσοῦτον γέγονεν ἐκ πρώτης ἡλικίας ἐγκρατής, ὡς ἐν τῷ κήπῳ ποτὲ ἰδὼν μῆλον καὶ εἰς ἐπιθυμίαν αὐτοῦ ἐλθὼν ἐπειπεῖν [3]· « Ὡραῖος ἦν εἰς » ὅρασιν καὶ καλὸς εἰς βρῶσιν ὁ ἐμὲ θανατώσας » καρπός » καὶ τοῦτο λαβεῖν μὲν ταῖς χερσὶ μὴ φαγεῖν δέ, ἀλλὰ τοῖς ποσὶ συμπατῆσαι [4] καὶ ὅρον
f. 98. ἑαυτῷ θέσθαι μὴ φαγεῖν ποτε μῆλον. Ἀλλὰ καὶ | εἰς κλίβανον πυρὸς εἰσελθὼν ἐξῆλθεν ἀβλαβὴς μηδὲ τῶν ἱματίων αὐτοῦ τοῦ πυρὸς ἁψαμένου. Ἐν δὲ τῷ ὀκτωκαιδεκάτῳ ἔτει τῆς αὐτοῦ ἡλικίας ἐμφανὴς καθίσταται τῷ μεγάλῳ Εὐθυμίῳ· καὶ παρ' αὐτοῦ πρὸς τὸν ὅσιον Θεόκτιστον ἐν τῷ κοινοβίῳ πέμπεται, τούτων ἁπάντων οἷς ἐτύγχανε τοὺς τρόπους καὶ τὴν ἀρετὴν ἐκλαμβανόμενος καὶ ἀναμανθάνων· ὃν ὁ μέγας Εὐθύμιος διὰ τὴν ὑπερβάλλουσαν πνευματικὴν κατάστασιν παιδαριωτέροντα ἐκάλει. Συμπροϊούσης δὲ αὐτῷ κατὰ τὴν ἡλικίαν τῆς ἀρετῆς, πολλὰ θαύματα κατειργάσατο καὶ ἐν ἀνύδροις τόποις διὰ προσευχῆς ὕδωρ ἐξήγαγε. Γέγονε δὲ πολλῶν μοναχῶν καθηγητὴς καὶ διεπρεσβεύσατο δὶς ἐπὶ τὴν Κωνσταντινούπολιν ἀνελθών, παρακληθεὶς ὑπὸ [5] τῶν κατὰ καιροὺς πατριαρχούντων Ἱεροσολύμων, πρός τε τὸν βασιλέα Ἀναστάσιον καὶ Ἰουστινιανόν. Φθάσας δὲ εἰς τὸ ἄκρον τῆς κατὰ Χριστὸν [6] ἡλικίας, ὡς ἐτῶν γενέσθαι τεσσάρων καὶ ἐνενήκοντα [7], πρὸς Κύριον ἐξεδήμησεν. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἔνδον τοῦ ἁγίου [8] Φιλήμονος, ἐν τῷ Στρατηγίῳ. Dec. 5.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ϛ'.

1. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν [1] Νικολάου ἀρχιεπισκόπου Μύρων τῆς Λυκίας. Οὗτος ὑπῆρχεν ἐν τοῖς χρόνοις Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν τυράννων, πρότερον τῇ μοναδικῇ πολιτείᾳ διαπρέψας καὶ δι' ὑπερβάλλουσαν ἀρετὴν τὴν ἀρχιερωσύνην δεξάμενος. Καὶ ἐπεὶ τὰ χριστιανῶν ἦν πρεσβεύων καὶ τὴν εὐσέβειαν κηρύττων, ἐλευθέρᾳ φωνῇ, συλλαμβάνεται ὑπὸ τῶν τὰ πρῶτα φερόντων Dec. 6.

1. — [1] ἐκ τῆς τῶν Καππαδοκῶν χώρας Sa. — [2] ἐκ κώμης Sa. — [3] εἰπεῖν Sa. — [4] συμπατήσας Sa. — [5] παρὰ Sa. — [6] Sa, χρόνον S. — [7] ἐνενήκοντα καὶ δ' Sa. — [8] μάρτυρος *add.* Sa.
1. — [1] καὶ θαυματουργοῦ *add.* Sa.

SYNAXARIA SELECTA. **Sa** : 1. — **Sb** : 1. — **H** : 1 (Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρείῳ τῷ ὄντι πλησίον τοῦ ἁγίου μάρτυρος Ἀναστασίου, ἔνδον τοῦ ἁγίου μάρτυρος Φιλήμονος ἐν τῷ Στρατηγίῳ). — Ἄθλησις Ἀβερκίου. — **P** : 1. — Τοῦ ἁγίου Ἀβερκίου. — **Da** : 1. — **Db** : 1. — **F** : 1. — **Fa** : 1. — **B** : 1. — **Ba** : 1 (= S). — **Bb** : 1. — **T** : 1. — **L** : 1. — **Q** : 1. — **C** : 1. — **Cb** : 1. — **Cc** : 1. — **Cd** : 1. — **M** : deest. — **Mv** : 1. — Ἀναστασίου. — Διοτένης λιθοβοληθεὶς τ. — Ἀβέρκιος ἔ. τ. — Νόννος ἐν εἰρήνῃ τ. — **Mb** : 1. — Ἀναστασίου. Οὗτος ὁ ἅγιος μάρτυς τοῦ Χριστοῦ Ἀναστάσιος ἰδών ποτε τοὺς ἁγίους μάρτυρας ὑπὸ τῶν ἑλλήνων ἐξερευνωμένους [1] καὶ ἀνακρινομένους καὶ μεληδὸν κατατεμνομένους ὑπὲρ τῆς εἰς Χριστὸν [2] ὁμολογίας, χριστιανὸς ὢν καὶ μεμνημένος τὰ τούτοις ἐκ Θεοῦ ἀποκείμενα [3], ἐπεθύμει καὶ αὐτὸς τὸν ἴσον ἀγωνίσασθαι δρόμον. Καὶ δὴ ἐν μιᾷ τῶν ἡμερῶν ἐθερμάνθη ἡ καρδία αὐτοῦ, καὶ σημειωσάμενος τῷ σταυρῷ [4] ἅπαν τὸ σῶμα αὐτοῦ, ἔδραμεν ἐπὶ τὸ στάδιον [5], καὶ στὰς μέσον [6] τοῦ συνεδρίου μεγάλῃ τῇ [7] φωνῇ ἐξεβόησεν· « Εὑρέθην τοῖς ἐμὲ » <μὴ [8]> ζητοῦσιν, καὶ [7] ἐμφανὴς γέγονα [9] τοῖς ἐμὲ ἀγνοοῦσι [10]. » Πάντων δὲ ἀτενισάντων εἰς αὐτόν, εἶπεν· « Ἀκούσατε, ὑπηρέται τοῦ διαβόλου, ἀκούσατε. Ἐγὼ χριστιανός εἰμι καὶ εἰς τὸν κύριόν μου » Ἰησοῦν Χριστὸν πιστεύω· τὰ δὲ εἴδωλα ὑμῶν καὶ τοὺς ταῦτα προσκυνοῦντας καὶ [7] ἀναθεματίζω καὶ » ἀποστρέφομαι. » Οἱ δὲ τὸ πεπαρρησιασμένον αὐτοῦ θεασάμενοι ἐξεπλάγησαν. Καὶ εὐθὺς ἀποδύσαντες αὐτὸν ἐμάστιξαν σφοδρῶς καὶ εἶπον· « Ταῦτα μέν εἰσι τῆς προαιρέσεώς σου καὶ τῆς προπετείας σου » καὶ ἀναιδείας σου [11]. Ὅτι δὲ τὸν Χριστὸν <σέβῃ [12]> μὴ ἀρνούμενος αὐτόν, τὴν κεφαλὴν [13] ἀποτμηθείς, » βορὰ ἰχθύων καὶ ἑρπετῶν [14] ἐναλίων τὴν σήμερον γενήσῃ. » Ὅνπερ εὐθέως οἱ δήμιοι λαβόντες, ἀπέτεμον τὴν κεφαλὴν αὐτοῦ· καὶ μικρὸν τῆς γῆς ἀποβάντες, τῇ θαλάσσῃ ἐναπέρριψαν [15]. — **Mr** : 1. Dec. 5.

SYNAXARIA SELECTA. **Sa** : 1. — **Sb** : 1. — **H** : 1. — **P** : 1. — **Da** : 1 (= Ba). — **Db** : 1. — **F** : 1 (= Ba). — **Fa** : 1. — **B** : 1. — **Ba** : 1 : Νικολάου ἐπισκόπου Μύρων τῆς Λυκίας. Οὗτος ὑπῆρχεν ἐν τοῖς χρόνοις Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν τυράννων, πρότερον τῇ μοναδικῇ πολιτείᾳ διαπρέψας καὶ δι' ὑπερβάλλουσαν ἀρετὴν τὴν ἀρχιερωσύνην δεξάμενος. Ἐπεὶ δὲ τὰ χριστιανῶν ἦν πρεσβεύων καὶ τὴν εὐσέβειαν κηρύττων ἐλευθέρᾳ φωνῇ, συλλαμβάνεται ὑπὸ τῶν τὰ πρῶτα φερόντων τῆς πόλεως· καὶ πληγαῖς καὶ στρεβλώσεσι παρ' αὐτῶν ὑποβληθείς, τῇ εἱρκτῇ ἐναπορρίπτεται μετὰ τῶν ἄλλων χριστιανῶν. Τοῦ δὲ μεγάλου καὶ εὐσεβοῦς Κωνσταντίνου τὴν βασιλείαν τῶν Ῥωμαίων ψήφῳ Θεοῦ ὑποζωσαμένου, ἀφίενται οἱ κατάκλειστοι τῶν δεσμῶν· μεθ' ὧν καὶ ὁ μέγας Νικόλαος ἀφεθεὶς τὰ Μύρα κατέλαβεν. Οὐ πολὺ τὸ ἐν μέσῳ καὶ ἡ ἐν Νικαίᾳ σύνοδος συναθροίζεται ὑπὸ τοῦ μεγάλου Κωνσταντίνου· ἧς μέρος Dec. 6.

[1] ἀνερευνομένους Mv. — [2] τοῦ Θεοῦ Mv. — [3] ἀγαθὰ *add.* Mv. — [4] τῷ σταυρῷ σημειωσάμενος Mv. — [5] ἐπὶ τὸ στάδιον ἔδραμε Mv. — [6] ἐν μέσῳ Mv. — [7] *om.* Mv. — [8] Mv, *om.* Mb. — [9] ἐγενόμην Mv. — [10] μὴ ἐπερωτῶσι Mv. — [11] εἰσι τῆς προπετείας καὶ ἀναιδείας σου Mv. — [12] Mv, *om.* Mb. — [13] σου *add.* Mv. — [14] καὶ πετεινῶν *add.* Mv. — [15] ἀπέριψαν Mv.

Dec. 6. τῆς πόλεως καὶ πληγαῖς καὶ στρεβλώσεσι παρ' αὐτῶν ὑποβληθεὶς τῇ εἱρκτῇ ἐναπορρίπτεται μετὰ τῶν [2] ἄλλων χριστιανῶν. Μετὰ δὲ τοῦτο τοῦ μεγάλου Κωνσταντίνου τὴν βασιλείαν τῶν [3] Ῥωμαίων ψήφῳ Θεοῦ ὑποζωσαμένου, ἀφίενται οἱ κατάκλειστοι τῶν δεσμῶν. Μεθ' ὧν καὶ ὁ μέγας Νικόλαος ἀφεθεὶς τὰ Μύρα κατέλαβεν. Οὐ πολὺ τὸ ἐν μέσῳ καὶ ἡ ἐν Νικαίᾳ σύνοδος συναθροίζεται ὑπὸ τοῦ μεγάλου Κωνσταντίνου, ἧς μέρος καὶ ὁ θαυμάσιος [4] Νικόλαος γίνεται. Οὗτος πολλὰ ἐποίησε [5] θαύματα ὡς ἡ κατ' αὐτὸν ἱστορία δηλοῖ. Εἰς βαθὺ δὲ γῆρας ἐληλακὼς πρὸς Κύριον ἐξεδήμησε, τὸ σῶμα αὐτοῦ [6] τοῖς πιστοῖς καταλιπών, μῦρα βλύζων [7] μετὰ τῶν ἰαμάτων, ζῶν τε καὶ μετὰ θάνατον χάριν λαβὼν θαυματουργιῶν. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ ἁγιωτάτῃ [8] μεγάλῃ ἐκκλησίᾳ.

f. 98v. ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ζ'.

Dec. 7. 1. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀμβροσίου ἐπισκόπου Μεδιολάνων. Οὗτος γέγονεν ἐκ τῆς μεγαλοδόξου Ῥώμης, εἷς ὢν τῆς συγκλήτου, ἔν τε λόγοις ἔχων προσφυῶς καὶ ζυγός τις ὢν καὶ στάθμη περὶ τὸ δίκαιον, οὐχ ἑτεροκλινῆ ἐν τοῖς [1] προσπίπτουσι τὴν ἀπόφασιν, ἀλλ' ἀπαρέγκλιτον ποιούμενος καὶ ὀρθήν· διάτοι τοῦτο καὶ τὴν ἡγεμονίαν ἐνεπιστεύθη ἁπάσης τῆς Ἰταλίας παρὰ τῶν εὐσεβῶν βασιλέων Κωνσταντίνου καὶ Κώνσταντος υἱοῦ τοῦ μεγάλου Κωνσταντίνου. Οὔπω δὲ καταρτισθεὶς τῷ θείῳ βαπτίσματι ἀλλ' ἔτι ἐν τοῖς κατηχουμένοις ὤν, οὐδέν τι μεῖον εἰς ἀρετὴν καὶ βίου καθαρότητα τῶν μετειληφότων τοῦ μυστηρίου καθίστατο· ὅθεν κρίσει τοῦ βασιλέως Οὐαλεντινιανοῦ [2] ἀρχιερεὺς τῆς ἐν Μεδιολάνοις ἐκκλησίας, κατ' ἐκεῖνο [3] καιροῦ τοῦ προέδρου τὸν βίον ἀπολιπόντος, ὁ ἅγιος Ἀμβρόσιος προχειρίζεται, ὁμοῦ τε τῷ βαπτίσματι τελεσθεὶς καὶ κατὰ τάξιν τοὺς ἐκκλησιαστικοὺς βαθμοὺς διελθὼν καὶ ἐπὶ τὸν ἔσχατον προελθών· καλῶς δὲ τὴν ἐκκλησίαν ποιμάνας καὶ συνήγορος γεγονὼς τοῖς κατὰ τῆς Ἀρείου καὶ Σαβελλίου καὶ Εὐνομίου αἱρέσεως ἀγωνιζομένοις καὶ ὑπὲρ τῆς εὐσεβοῦς πίστεως διάφορα βιβλία συντάξας καὶ τὸν βασιλέα [4] Θεοδόσιον, ἀπὸ τῆς ἐν Θεσσαλονίκῃ μιαιφονίας καταλαβόντα τὴν τῶν Μεδιολάνων πόλιν, τῶν θείων εἰσόδων τῆς ἐκκλησίας κωλύσας καὶ εἰς ὑπόμνησιν ἀγαγὼν ὧν τετόλμηκεν [5], ἐν γήρᾳ καλῷ καταλύει τὸν βίον. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ [6].

— [2] τινων καὶ Sa. — [3] *om.* Sa. — [4] θαυμαστὸς Sa. — [5] *supra lin.* Sa. — [6] τὸ τίμιον αὐτοῦ σῶμα Sa. — [7] βλύζον Sa. — [8] *om.* Sa.

1. — [1] ταῖς S, Sa. — [2] Οὐαλεντιανοῦ Sa. — [3] ἐκείνου S, Sa. — [4] ἐν βασιλεῦσι μέγαν Sa. — [5] καὶ μετανοίᾳ τοῦτον διορθωσάμενος *add.* Sa. — [6] πλησίον τῆς μεγάλης ἐκκλησίας Sa.

Dec. 6. καὶ ὁ θαυμαστὸς Νικόλαος γίνεται. Οὗτος μὲν πολλὰ καὶ ἄλλα ἐποίησε θαύματα, ὡς ἡ κατ' αὐτὸν ἱστορία δηλοῖ. Διέσωσε δὲ καὶ συκοφαντηθέντας ἄνδρας τρεῖς καὶ ἀδίκως μέλλοντας ἐξελθεῖν τῆς ζωῆς. Ὡς γὰρ τὸν ἐνστάντα καιρὸν <καθ' ὃν [1]> ἔμελλον [2] ἀποτέμνεσθαι ἐν φυλακῇ ὄντες ἔμαθον, τὸν ἅγιον εἰς βοήθειαν ἐπεκαλέσαντο, ὑπομνήσαντες αὐτὸν τοιαύτας εὐεργεσίας, ἃς ἐποίησε τρεῖς ἄνδρας ἐν τῇ Λυκίᾳ ἀναιρεῖσθαι μέλλοντας διασώσας [3]. Ὀπτάνεται οὖν ὁ ἅγιος ὄναρ τῷ βασιλεῖ καὶ τῷ ὑπάρχῳ, τῷ μὲν ὑπάρχῳ ἐπιτιμῶν διὰ τὴν εἰς τοὺς ἄνδρας πρὸς τὸν βασιλέα διαβολήν, τὸν δὲ βασιλέα διδάσκων ὡς ἀνεύθυνοί εἰσιν καὶ διὰ φθόνον αὐτῷ τῆς καθοσιώσεως ἐγκλήματι ὑπεβλήθησαν. Ὅθεν αὐτοὺς λυτροῦται τῆς ἐπικειμένης ἀνάγκης· καὶ ἕτερα πλεῖστα τεράστια ἐκτελέσας καὶ ἱερῶς τὸν ὀρθόδοξον ποιμάνας λαὸν καὶ εἰς βαθὺ γῆρας ἐληλακὼς πρὸς Κύριον ἐξεδήμησεν, οὐδὲ μετὰ τέλος τοῦ ποιμνίου ἐπιλαθόμενος ἀλλὰ καὶ καθ' ἑκάστην, ὡς εἰπεῖν, ἡμέραν καὶ ὥραν τὰς εὐεργεσίας αὐτοῦ τοῖς δεομένοις ἐπιδαψιλευόμενος. — **Bb** : 1. — **T** : 1. — **L** : 1. — **Q** : 1. — Τοῦ ἁγίου Νίσερ. Οὗτος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ καὶ ἦχθη πρὸς Ἰούλιον καὶ Αἰλιανόν. Ὑπὸ τούτων ἐρωτώμενος ὁ ἅγιος καὶ μὴ πειθόμενος, γυμνοῦται τῶν ἱματίων καὶ ὀβελίσκοις πεπυρακτωμένοις τὰ σπλάγχνα διαπερονᾶται καὶ κατακαίεται· εἶτα φρουρεῖται καὶ διὰ δευτέρας προόδου πάλιν γυμνοῦται καὶ τὰς σάρκας ξέεται σφοδρῶς· πυρᾶς τε ἐξαφθείσης μεγίστης καὶ εἰς ὕψος ἀρθείσης πολύ, ἀκοντίζεται μέσον· καὶ εὐχὴν τελέσας ἐκεῖσε τὸ πνεῦμα τῷ Θεῷ παρατίθεται, ὁλοκαύτωμα θεῖον διὰ πυρὸς γενόμενος. — **C** : 1. — **Cb** : 1. — **Cc** : 1. — **Cd** : 1. — **M** : deest. — **Mv** : 1. Sequitur Βίος τοῦ ὁσίου πατρὸς ἡμῶν Νικολάου. Σοφόν τι χρῆμα ζωγράφων χεὶρ κτλ. — **Mb** : 1. — **Mr** : 1.

Dec. 7. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. add. : Τῇ αὐτῇ ἡμέρᾳ τὰ ἐγκαίνια τοῦ ναοῦ τῆς ὑπεραγίας Θεοτόκου ἐν τοῖς Κουράτορος (Dec. 8[5]). — **Sb** : 1. — Τῶν ἁγίων μαρτύρων τῶν ἐν Ἀφρικῇ (Dec. 8[2]). — **H** : 1. 2. 3. — **P** : 3. 1. 2. — Τοῦ ἁγίου Ἀβραμίου. — **Da** : 1. — Τῶν ἁγίων μαρτύρων τῶν ἐν Ἀφρικῇ. — **Db** : 1. — Τῶν ἁγίων μαρτύρων τῶν ἐν Ἀφρικῇ. — **F** : 1. 4. — **Fa** : 1. 4. — **B** : 1. — **Ba** : 1 (= S). — Τῶν ἁγίων μαρτύρων τῶν ἐν Ἀφρικῇ (= S, Dec. 8[2]). — **Bb** : 1. — Τῶν ἁγίων μαρτύρων κτλ. — **T** : 1. — **L** : 1. — **Q** : 1. — **C** : 1. 3. — Τῶν ἁγίων μαρτύρων κτλ. des. mutil. — **Cb** : 1. 3. — **Cc** : 1. 3. — Τῶν ἁγίων μαρτύρων κτλ. — **Cd** : 1. 3. — **M** : deest. — **Mv** : 1. 3. — Νεόφυτος ἐν τῇ θαλάσσῃ βληθεὶς τ. — Δομέτιος ξ. τ. — Ἰσίδωρος καὶ Ἀκεψιμᾶς π. τ. — Ἀμμοῦν ἐπίσκοπος Νητρίας ἐν εἰρήνῃ τ. — Γαϊνὸς καὶ Γαῖος π. τ. — Οἱ ἅγιοι τριακόσιοι μάρτυρες οἱ ἐν Ἀφρικῇ ξ. τ. (Dec. 8[2]). — Ἰγνάτιος ὁ πλησίον τῶν Βλαχερνῶν κείμενος ἐν εἰρήνῃ τ. — Παύλου μοναχοῦ τοῦ ὑποτακτικοῦ. — 2 (Πρίσκου, Μαρτύρου καὶ Νικολάου). — Τὰ ἐγκαίνια τῆς ὑπεραγίας Θεοτόκου ἐν τοῖς Κουράτορος (Dec. 8[5]). — **Mb** : 1. 3. — Παύλου μοναχοῦ τοῦ ὑποτακτικοῦ. Ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν οὗτος ἐν τοῖς κατὰ κόσμον οὔτε περί-

[1] *om.* Ba. — [2] ἔμβαλλον Ba. — [3] διασώσαντα Ba.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων [1] Πρίσκου, Μαρτίνου καὶ Νικολάου. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις πλησίον τοῦ τείχους τῶν Βλαχερνῶν.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀθηνοδώρου. Οὗτος ἦν ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως ἐκ Μεσοποταμίας τῆς Συρίας ὁρμώμενος, μονήρη βίον ἀρχήθεν ἀναλαβών. Διαβληθεὶς δὲ παρέστη Ἐλευσίῳ τῷ ἄρχοντι καὶ τὸν Χριστὸν ὁμολογήσας, τείνεται μέσον δύο στύλων καὶ λαμπάσι καταφλέγεται κατὰ πάντων τῶν τοῦ σώματος μερῶν· καὶ βύλοις σιδηροῖς πυρωθεῖσι τὰς μασχάλας αὐτοῦ διακαίεται καὶ τοῖς μυκτῆρσιν ὀγκίνους εἰσδέχεται καὶ ἐν χαλκῷ τάπητι πυρωθέντι ἁπλοῦται, ὃν παραδόξως ἐκ θέρμης μετέβαλεν εἰς ψυχρότητα· καὶ αὖθις ἐν χαλκῷ πυρωθέντι ταύρῳ βάλλεται καὶ ἐκ πολλῶν ἑτέρων βασάνων δι' ἐπιστασίας ἀγγέλων λυτροῦται· ὅθεν καὶ ἐπι-
f. 99. σπᾶται πρὸς τὴν πίστιν ἄνδρας πεντήκοντα καὶ | αὖθις τριάκοντα. Ἐπεὶ δὲ τὴν διὰ ξίφους ἀπόφασιν ἐδέξατο, ὁ μέλλων τοῦτον τέμνειν παρείθη καὶ ὑσεὶ νεκρὸς κατέπεσε, τῆς χειρὸς αὐτοῦ σὺν τῷ ξίφει ἀπὸ τοῦ ὤμου πεσούσης· καὶ μηδαμῶς αὐτῷ ἑτέρου προσεγγίσαι τολμήσαντος, αὐτὸς ὁ ἅγιος εὐξάμενος τὸ πνεῦμα παρέδωκε.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου ἐπισκόπου Κολωνείας τοῦ ἡσυχαστοῦ τῆς λαύρας τοῦ ἁγίου Σάβα. Ὃς ἦν ἐπὶ τῆς βασιλείας Μαρκιανοῦ· ὥρμητο δὲ ἐκ Νικοπόλεως τῆς Ἀρμενίας, περιφανῶν γονέων υἱὸς γεγονὼς Ἐγκρατίου καὶ Εὐφυΐας προσαγορευομένων. Μετὰ οὖν τὴν τελευτὴν τῶν γεννητόρων αὐτοῦ, ὀκτωκαίδεκα χρόνων ἤδη ὤν, πωλήσας τὴν τῶν γεννητόρων ὕπαρξιν καὶ τοῖς πτωχοῖς ἐπιδοὺς τὸν μονήρη βίον ἠσπάσατο· καὶ διὰ τὸ ὑπερβάλλον τῆς αὐτοῦ ἀρετῆς παρὰ τοῦ ἀρχιεπισκόπου Σεβαστείας προεχειρίσθη ἐπίσκοπος ἐν Κολωνείᾳ, τοῦ ταύτης προέδρου τὸν βίον ἀπολιπόντος. Ἔρωτι δὲ τῆς ἡσυχίας τὴν μὲν ἐπισκοπὴν μετὰ δέκατον ἔτος κατέλιπε, τὰ δὲ Ἱεροσόλυμα καταλαβών, ἐπιφανέντος αὐτῷ ἀστέρος καὶ ὁδηγοῦντος, παρεγένετο εἰς τὴν λαύραν τοῦ ἁγίου Σάβα. Ὑποδεχθεὶς οὖν παρὰ τοῦ θεοφόρου τούτου [1], πάσας τὰς ἐν τῇ λαύρᾳ ὑπηρεσίας καὶ διακονίας διήνυσε διὰ τὸ ἀγνοεῖσθαι ὅστις ἦν. Ἐπεὶ δὲ αὐτὸν τῆς ἱερωσύνης ἄξιον ὁ ὅσιος ἔκρινεν, προσήγαγεν αὐτὸν Ἠλίᾳ τῷ πατριάρχῃ Ἱεροσολύμων· ὅθεν ἀναγκασθεὶς ὁ Ἰωάννης λέγει τὰ κατ' αὐτὸν καὶ συγχωρεῖται ἐφ' ἡσυχίας λοιπὸν τὸν βίον διάγειν. Ἐπὶ τοσοῦτον δὲ ἦρθη δι' ἀσκήσεως [2] καὶ ἡσυχίας πρὸς ὕψος ἀρετῆς, ὡς ἐν ὁδοιπορίᾳ τινὶ ὀκλάσαντα αὐτὸν ἀρθῆναι ἄφνω καὶ εὑρεθῆναι ἐν τῷ

2. — [1] Sa, τοῦ ἁγίου μάρτυρος S.
4. — [1] πατρὸς *add.* Sa. — [2] καὶ πολιτείας *add.* S, *sed expunxit.*

δοξος [1] γέγονεν οὔτε πάλιν πένης, ἀλλὰ τῶν γονέων αὐτοῦ αὐτάρκως πρὸς τὴν χρείαν ἐχόντων ἐδιδάσκετο τὰ ἱερὰ [2] γράμματα. Εἰς ἡλικίαν δὲ αὐτῷ ἐλάσαντι ἔδοξε συμφέρον τὸν κόσμον καταλιπεῖν καὶ εἰς ἓν τῶν εὐαγῶν σεμνείων τῆς ἰδίας πόλεως [3] εἰσελθεῖν. Καὶ ἀμφιασάμενος τὸ ἅγιον [4] σχῆμα, ἠγωνίζετο πάσας τὰς ἀρετὰς μετελθεῖν. Καὶ τοσοῦτον ὑπερηκόντισε πάντας τοὺς ἐν ἐκείνῳ τῷ σεμνείῳ, δοχεῖον τῶν ἀρετῶν γενόμενος, ὡς καὶ ἑτέρας ἐργασίας κρυπτὰς καὶ [5] μεγάλας καὶ φοβερὰς προσλαβέσθαι, ὡς παρακατιὼν ὁ λόγος δηλώσει [6]. Ποτὲ γὰρ αὐτοῦ μεθ' ἑτέρων ἀδελφῶν πίσσαν ἐν χαλκείῳ διαλύσαντος [7], καὶ ταύτης εἰς ὕψος ἀρθείσης ἐν τῷ κοχλάζειν ἐκχεομένης, ὁρῶν ὁ Παῦλος τὴν τῆς πίσσης ἀπώλειαν, οὐδὲ γὰρ [8] παρέκειτο ξυλάριον ἢ ἕτερόν τι ἐπιτήδειον πρὸς τὸ ἀναταραχθῆναι [9] τὸν βρασμόν, τὴν χεῖρα χαλάσας γυμνὴν [10] εἰς τὸ χαλκεῖον [11] καὶ τὴν πίσσαν εὐφυῶς ἀναταράξας καὶ [12] καχλάζουσαν καταπαύσας, ἐξήγαγε σῶαν καὶ ἀβλαβῆ, μήτε τὴν ὄψιν μολύνας, μήτε τῆς χειρὸς ἢ τοῦ βραχίονος προσλαβομένων τι τὸ σύνολον. Τοῦτο οἱ σὺν αὐτῷ ἀδελφοὶ θεασάμενοι ἐξέστησαν. Καὶ οἱ μὲν τῶν ἀδελφῶν ὡς ἕνα τῶν θεοφόρων ἐλογίζοντο τοῦτον [13] καὶ ἐτίμων, οἱ [14] δὲ παντελῶς ἠπίστουν. Ἐκεῖνος δὲ τὴν καὶ σποδὸν καὶ ὀδωδότα κύνα ἑαυτὸν ἀπεκάλει [15]. Καὶ ὡς ταῦτα ἔλεγεν, ἀπεστάλη εἰς διακονίαν ἐπὶ χρόνον τινά. Τότε ὁ προεστὼς τοὺς εὐλαβεστέρους τῶν ἀδελφῶν συλλέξας [16], εὐχὴν ἐπιτεταμένην [17] σὺν σκληραγωγίᾳ πολλῇ ἐπὶ ῥηταῖς ἡμέραις ἐποιοῦντο περὶ τοῦ μοναχοῦ Παύλου, λέγοντες οὕτωσί· « Κύριε, εἰ ἄξιοί ἐσμεν, δεῖξον ἡμῖν [18] χωρητὸν ἰδεῖν τὸν ἀδελφὸν ἡμῶν Παῦλον, ἄρα » εἰς ποῖα μέτρα ἔφθασε καὶ ποῦ κατετάγη. » Ὁ δὲ τὸ θέλημα τῶν φοβουμένων [19] ποιῶν Θεὸς [20] ᾠκονόμησε μιᾷ τῶν νυκτῶν ἀφυπνώσαντας τοὺς ἀδελφοὺς [21] νεύσει Θεοῦ ἁρπαγέντας εὑρεθῆναι [22] εἰς παράδεισον ποικίλον καὶ πάντερπνον [23], τοσαύτης ἐμφορηθέντα εὐωδίας καὶ τέρψεως ὅσης [24] οὐδὲ εὑρεῖν [25] δυνατόν. Ἐκπληττομένων δὲ αὐτῶν ἐπὶ τῷ παραδόξῳ τούτῳ θεάματι [26], ἔδοξε καὶ τὸν μοναχὸν αὐτοῖς φανῆναι Παῦλον, προσπεσόντα καὶ πάντας ἀσπασάμενον [27]. Ὡς δὲ καὶ ἐπυνθάνοντο [28] μαθεῖν θέλοντες [29] τί τὸ ὁρώμενον, ἤκουον τοῦ Παύλου [30] μετὰ πολλῆς ταπεινώσεως λέγοντος [22] · « Ὁ μὲν » παράδεισος τοῦ Θεοῦ ἐστιν, ὦ [22] ἀδελφοί, καὶ δι' ἡμᾶς οὗτος γέγονεν. Ὅτι δὲ δι' ἐμὲ διὰ τῆς πρὸς » Θεὸν ἐντεύξεως ἠθελήσατε ἕως τῶν ὧδε ἀφικέσθαι, πάρειμι καὶ αὐτός· πλὴν ἀδεῶς λάβετε ἐξ αὐτοῦ » ἕκαστος, ὅπερ ὡς ὑπερέχον τῶν ἄλλων δοκεῖ καὶ ὡς ἐφετόν, καὶ πορεύεσθε ἐν εἰρήνῃ· ἕτερον δὲ ἐν τῇ » διακονίᾳ τῇ ἀνατεθείσῃ μοι [31] ἐξαποστείλατε· ἐμὲ γὰρ οὐκέτι θεάσεσθε. » Οἱ δὲ τὸν Παῦλον κατασπα-

[1] περιφανῆς Mv. — [2] ἐν αὐταρκείᾳ βιούντων τὰ ἱερὰ ἐδιδάσκετο Mv. — [3] πόλεως τῆς ἰδίας Mv. — [4] καὶ ἀγγελικὸν *add.* Mv. — [5] κρυπτὰς καὶ *om.* Mv. — [6] (ὡς - δηλώσει) *om.* Mv. — [7] διαλύσαντες Mb. — [8] ὡς οὐδὲν Mv. — [9] ταραχθῆναι Mv. — [10] γυμνώσας Mv. — [11] ἐχάλασε *add.* Mv. — [12] διαταράξας καὶ εὐφυῶς Mv. — [13] τούτων Mb, *om.* Mv. — [14] τῶν Mv. — [15] ἐκάλει Mv. — [16] συλλεξάμενος Mv. — [17] ἐπιτελουμένην Mv. — [18] (εἰ - ἡμῖν) δεῖξον ἡμῖν κύριε καθὼς ἐστι Mv. — [19] αὐτὸν *add.* Mv. — [20] κύριος Mv. — [21] τοὺς ἀδελφοὺς ἀφ. Mv. — [22] *om.* Mv. — [23] καὶ *add.* Mv. — [24] ὅσον Mv. — [25] εἰπεῖν Mv. — [26] θεάματι τούτῳ Mv. — [27] ἀσπαζόμενον Mv. — [28] ἐπυνθάνετο Mb, ἐπυνθάνοντος Mv. — [29] θέλοντι Mb, θέλοντος Mv. — [30] λέγοντος *add.* Mv. — [31] ἀνατεθείσῃ μοι διακονίᾳ Mv.

Dec. 7. κελλίῳ αὐτοῦ, τῆς ἐν μέσῳ ὁδοῦ ἐχούσης μίλια πέντε, καὶ ἐν τῇ καταδρομῇ τῶν Περσῶν φρουρεῖσθαι τὸ κελλίον αὐτοῦ ὑπὸ λέοντος. Αἰτησάμενος δὲ τὸν Θεόν[2], πῶς χωρίζεται ἡ ψυχὴ ἐκ τοῦ σώματος, ἐν ἐκστάσει γέγονε καὶ εἶδεν ἄνδρα τινὰ ἐν ἀρετῇ διαπρέψαντα ἐν τῷ τοῦ ναοῦ νάρθηκι[4] τῆς ἁγίας Βηθλεὲμ ἐν τῷ μέλλειν τελευτᾶν μετὰ προπομπῆς ἀγγέλων καὶ ὑμνῳδίας τὴν ψυχὴν ἀφιέντα καὶ ταύτην ὑπ' αὐτῶν ἀναλαμβανομένην. Καὶ μετὰ τὴν ὅρασιν ἀπελθὼν ἐν τῷ ναῷ, εὗρε τὸν ἄνδρα τελειωθέντα. Οὗτός ποτε ἰσχάδος λαβὼν σπέρμα[5] ἐν ἀνίκμῳ τινὶ πέτρᾳ προσέρριψε καὶ τοῖς ἰδίοις εἶπε φοιτηταῖς ὅτι· « Ἐὰν τοῦτο ῥιζω- » θὲν βλαστήσῃ καὶ ἐμοὶ ὁ Θεὸς τὴν βασιλείαν[6] » χαρίζεται. » Ἐβλάστησεν | οὖν καὶ μετὰ τριετῆ f. 99v. χρόνον καρποὺς ἐξήνεγκεν, ἐξ ὧν αὐτὸς ὁ ὅσιος μετέλαβε καὶ τοῖς ἑαυτοῦ ἐπέδωκε μαθηταῖς. Γέγονε δὲ μοναχὸς ὀκτωκαιδέκατον ἄγων τῆς ἡλικίας χρόνον, ἐπίσκοπος δὲ ὄγδοον ἤδη καὶ εἰκοστόν· καὶ ἐν τῇ ἐπισκοπῇ διέπρεψεν ἔτη δέκα, καὶ ἐν τῇ λαύρᾳ ἔτη δώδεκα, καὶ εἰς τὸν Ῥουβὰν ἔτη ἕξ, ὡς πληροῦσθαι ἔτη πεντήκοντα ἕξ[7], καὶ ἐν ἡσυχίᾳ ἔτη τεσσαράκοντα ὀκτώ, ὡς εἶναι τὸν σύμπαντα χρόνον τῆς αὐτοῦ βιοτῆς ἔτη ἑκατὸν τέσσαρα. Ἐν δὲ βαθυτάτῳ γήρᾳ καταστὰς καὶ τοῦ τόνου μὴ καθυφεὶς ἀλλὰ νεανικῶς τοὺς κατ' ἄσκησιν[8] ἀγῶνας διεξιὼν πρὸς Κύριον ἐξεδήμησε.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Η'.

Dec. 8. **1.** Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Παταπίου τοῦ ἐρημοπολίτου. Οὗτος ἦν ἐκ Θηβῶν τῶν κατ' Αἴγυπτον ὁρμώμενος· τὸν μονήρη δὲ βίον ἑλόμενος καὶ πολλοὺς χρόνους ἐν τῇ ἐρήμῳ ἀσκήσας, εἶτα ἐν Κωνσταντινουπόλει ἐλθών, πλεῖστα εἰργάσατο θαύματα, τυφλοὺς ὀμματώσας καὶ ὑδεριῶντας[1] διὰ χρίσεως ἐλαίου ἁγίου ἰασάμενος καὶ δαίμονας ἀπελάσας καὶ καρκῖνον ἀπὸ μαστοῦ γυναικὸς θεραπεύσας ἢ ἐκριζώσας καὶ ἀφανίσας, — σκώληξ γὰρ ὁ καρκῖνός ἐστιν διαβιβρώσκων ἔνθα δὴ καὶ[2] ὑπάρχοι[3] — ἐν εἰρήνῃ τῷ Κυρίῳ τὸ ἑαυτοῦ παρέθετο πνεῦμα.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων τῶν ἐν Ἀφρικῇ ὑπὸ τῶν Ἀρειανῶν ἀναιρεθέντων. Οὗτοι οἱ ἅγιοι μάρτυρες κατὰ τοὺς καιροὺς Ζήνωνος[1] βασιλέως Ῥωμαίων ὑπῆρχον· τὴν δὲ τῆς Ἀφρικῆς ἀρχὴν Ὀνώριχος[2] μετὰ τὴν τοῦ πατρος αὐτοῦ τελευτὴν Γιζερίχου κατεῖχεν, ἀρειανὸς ὑπάρχων. Ὃν οἱ τῆς Ἀρείου αἱρέσεως ἐπίσκοποι Κυρίλλας τε καὶ Βηλινάνδης πείσαντες διωγμὸν μέγαν κατὰ τῶν ὀρθοδόξων κινῆσαι, τοιοῦτον αὐτὸν ἀνερρίπισαν, ὡς ὑπερβῆναι καὶ τοὺς κατὰ τοὺς[3] χρόνους Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ κινηθέντας. Ἐκ πασῶν γὰρ τῶν ἐν τῇ χώρᾳ πόλεων, δεκαπέντε τυγχανουσῶν, πάντας τοὺς ἱερεῖς ἐκδιωχθῆναι προστάττει, πρότερον τῶν τῆς ἐκκλησίας ἱερῶν τε καὶ ἐπίπλων ἀφαιρεθέντων· ἔπειτα μίαν ἐκκλησίαν οἱ ὀρθόδοξοι καταλαβόντες τὴν μυστικὴν ἐκεῖσε λειτουργίαν ἐπετέλουν[4]. Ὅπερ γνόντες οἱ βάρβαροι περιέσχον ταύτην καὶ ξύλα κομίσαντες καὶ λοιπὴν ὕλην ξηρὰν ἐνεγκόντες περὶ αὐτὴν ὑφῆψαν σὺν | πᾶσι τοῖς αἰνοῦσι τὸν Θεόν· f. 100. ὅπερ[5] Ὀνώριχος ἀποδεξάμενος προσέταξε τοὺς μὴ ἀναβαπτιζομένους τὸ ἀρειανὸν[6] βάπτισμα παραχρῆμα ἀναιρεῖσθαι. Καὶ ὅσοι μὲν τὰ τῶν βασανιστηρίων κολάσεων φόβητρα φέρειν οὐκ ἠδύναντο, φυγῇ τὴν σωτηρίαν ἐκέρδησαν, ἀπολιπόντες οἴκους καὶ χώρας· ὅσοι δὲ ἐρρωμένοι πρὸς τὴν ὀρθόδοξον πίστιν ὑπῆρχον, προθύμως μάλα πρὸς τὸν διὰ τῶν κολάσεων θάνατον ἐξέδωκαν

— [3] ἰδεῖν *add.* Sa. — [4] *corr.* Sa, *prius* ἄρθηκι. — [5] σπέρμα λαβὼν Sa. — [6] αὐτοῦ *add.* Sa. — [7] (ὡς - ἕξ) *om.* Sa. — [8] κατὰ τὴν ἄσκησιν Sa.

1. — [1] Sa, ὑδεριῶντα S. — [2] *om.* Sa. — [3] ὑπάρχει Sa.

2. — [1] Sa. Ζωήνου S. — [2] Ὀνόριχος *et deinceps*, S, Sa. — [3] *om.* Sa. — [4] ἐπιτέλουν Sa. — [5] τοῦτο Sa. — [6] τὸ τῶν ἀρειανὸν Sa.

Dec. 7. σάμενοι καὶ λαβόντες ὁ μὲν ἄνθος, ἕτερος[32] κλάδον, ἄλλος φύλλα τερπνότατα καὶ[22] ἕτερος[33] βοτάνας, ἐξήεσαν. Καὶ τὸν ὕπνον ἅπαντες ὁμοῦ ἀποτιναξάμενοι καὶ εἰς ἓν συνελθόντες, τὰ ὁραθέντα[34] διηγοῦντο εὐφραινόμενοι καὶ δοξάζοντες τὸν Θεόν. Ὁ μὲν γὰρ ὑπεδείκνυεν τοῖς λοιποῖς[35], ὅπερ ἐκεῖθεν ἔλαβεν. Ὁ δὲ ἔλεγε μὲν[36] εἰληφέναι τόδε, ἐδείκνυε δὲ οὐδέν. Ἕτερος δὲ διεβεβαιοῦτο ἐφ' ἱκανὸν τὴν εὐωδίαν φέρειν ἐν τοῖς ῥισίν, οὗπερ αὐτοχείρως ἐκεῖθεν ἐδράξατο, εἰ καὶ μηδὲν ἐπεφέρετο. Ὁ δὲ μακάριος Παῦλος ἐκεῖθεν ἀπαγιστὰς ἐν ᾗ δηλονότι διακονίᾳ ἀποσταλεὶς προσήδρευε, πρὸς τὰ Ἱεροσόλυμα ᾤχετο. Καὶ τοὺς ἐκεῖσε τόπους καταλαβὼν καὶ προσευξάμενος, εἰς Κύπρον ἀφίκετο καὶ[36] ἐν ὄρει ὑψηλῷ τῆς νήσου χρόνους[37] διατελέσας, ὡς[36] οὐκ ὀλίγοι πρὸς αὐτὸν συνέρρεον[38] τῆς φήμης παντοχόθεν[39] διαδραμούσης. κἀκεῖθεν[40] ἀνεχώρησε. Καὶ πρὸς τὰ τῷ Βυζαντίῳ παρακείμενα μέρη παραγενόμενος κἀν τούτοις τῷ Θεῷ[41] εὐαρεστήσας, φωνῆς ἐκεῖθεν ἀξιοῦται, ὡς ὁ θεόπτης[42] πάλαι Μωϋσῆς· « Ἀνάβηθι, » πρὸς[43] τὸ ὄρος, Παῦλε[36], λεγούσης[36], καὶ τελεύτα. » Εἰς ἓν τοίνυν τῶν ὑψηλῶν ὀρέων ἀνελθὼν ἐγχωρίως Παρηγορία ὀνομαζόμενον, τῷ Θεῷ προσεκύνησε· καὶ μικρὸν ἐν τούτῳ ἐπιβιοὺς ἐκοιμήθη ἐν εἰρήνῃ[44]. — **Mr** : 1.

Dec. 8. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. — **Sb** : 1. — Ἰωάννου ἐπισκόπου Κολωνείας (Dec. 7[4]). — **H** : Ἰωάννου ἐπισκόπου Κολωνείας. — 4. 5. — **P** : Τῶν ἁγίων πατέρων ἡμῶν καὶ ἐπισκόπων Ἰωάννου γενομένου Κολωνείας καὶ (4) Σωφρονίου Κωνσταντίας τῆς Κύπρου. — 5. — **Da** : 1 : Ἰωάννου ἐπισκόπου

— [32] ὁ δὲ Mv. — [33] ἕτεροι Mv. — [34] τὰ ὁραθέντα *om.* Mv. — [35] τοῖς ἄλλοις ὑπεδείκνυεν Mv. — [36] *om.* Mv. — [37] πολλοὺς *add.* Mv. — [38] καὶ *add.* Mv. — [39] διαδοθείσης καὶ *add.* Mv. — [40] ἐκεῖθεν Mv. — [41] τῷ Θεῷ *om.* Mv. — [42] θεσπέσιος Mv. — [43] Παῦλε εἰς Mv. — [44] κυρίῳ Mv.

ἑαυτούς. Τριακόσιοι δ'[7] οὖν ὑφ' ἓν ἐν Καρχηδόνι κομισθέντες, μὴ συμφρονεῖν Ἀρειανοῖς ἑλόμενοι, κεφαλικὴν ὑπέσχον τιμωρίαν· τοῖς δ'[8] ἱερεῦσι μείζονας καὶ φοβερὰς τὰς τιμωρίας ἐπενόουν. Δύο γὰρ ἐξ αὐτῶν κατέπρισαν, ἑξήκοντα δὲ τοὺς λογιωτάτους[9] ἐγλωσσοτόμησαν ἐξ αὐτῶν τῶν κιονίδων· οἳ καὶ διασπαρέντες ἐν πάσῃ τῇ ὑπὸ Ῥωμαίους γῇ τὴν τοῦ Θεοῦ μεγίστην ἐν αὐτοῖς θαυματουργίαν ἐκήρυττον, ἄνευ γλώττης ἀπταίστως τε καὶ τρανῶς τὰ λεγόμενα διαρθροῦντες, ὡς καταπλήττεσθαι τοὺς ὁρῶντας καὶ ἀκούοντας τούτων· ἐξ ὧν εἷς τις μετὰ τὴν χάριν τῆς ἐν Χριστῷ ὁμολογίας ὁλισθήσας εἰς σαρκικὴν ἁμαρτίαν, τὴν θείαν χάριν ἀποστῆναι πεποίηκεν ἀπ' αὐτοῦ. Περὶ τούτων πολλοὶ συγγραφεῖς καὶ ἱστορικοὶ διηγήσαντο. Ἀλλὰ ταῦτα μὲν ὑπὸ Βανδούλων ἐν Ἀφρικῇ τοῖς ὁμοούσιον τῷ Πατρὶ τὸν Θεὸν λόγον ὁμολογοῦσι[10] χριστιανοῖς ἐτολμήθη. Ἐν δὲ τῇ πρεσβυτέρᾳ Ῥώμῃ κατὰ τὸν αὐτὸν[11] καιρὸν Σούνηλδις[12] ἡ γαμετὴ τοῦ τὴν Ῥώμην[13] κατέχοντος ῥηγὸς Ὀδοάκρου, τὰ ὅμοια περὶ τὴν πίστιν νοσοῦσα, μίαν τινὰ τῶν πολιτίδων γυναῖκά τινος τῶν μεγιστάνων[14] ἠνάγκαζε τὸ τῶν Ἀρειανῶν ἀναβαπτισθῆναι βάπτισμα. Ὡς δὲ πεῖσαι οὐκ εἶχεν, καὶ ἄκουσαν εἰς τὸ ὕδωρ ὑπὸ τοῦ ἐπισκόπου Μεδιολάνων βαπτισθῆναι εἰσήγαγεν· ἡ δέ, ὡς ἀνῆλθεν ἐκ[15] τῆς κολυμβήθρας, ὀβολοὺς ᾐτήσατο παρὰ τῆς ἑαυτῆς[16] θεραπαινίδος δύο καὶ τῷ ἐπισκόπῳ δέδωκεν εἰποῦσα· « Ἰδοὺ ἀπέχεις σου[17] » τὸν μισθὸν τοῦ βαλανείου. » Ὀργισθεῖσα οὖν ἡ Σούνηλδις παραυτίκα ὁλόκαυστον ἐποίησε ταύτην. Ἧς ὁ ἀνὴρ φοβηθεὶς αὐτόμολος ἧκε καὶ ἀνεβαπτίσθη εἰς[18] θρησκείαν Ἀρείου. Ὀχούμενος δὲ ἵππῳ καὶ γενόμενος ἐν εὐκτηρίῳ πρὸ τῆς πόλεως, ὑπὸ σκηπτοῦ πεσόντος ἐνεπρήσθη καὶ ἐπειράθη, ὡς ἡ τοῦ Θεοῦ κρίσις δραστικωτέρα τοῦ προσκαίρου πυρὸς αὐτῷ γέγονε.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων ἀποστόλων ἐκ τῶν ἑβδομήκοντα | Σωσθένους, Ἀπολλῶ[1], f. 100v. Κηφᾶ, Τυχικοῦ, Ἐπαφροδίτου[2], Καίσαρος καὶ Ὀνησιφόρου. Τούτων ὁ μὲν Σωσθένης, οὗτινος καὶ ὁ ἅγιος Παῦλος μέμνηται, ἐπίσκοπος Κολοφῶνος ἐγένετο. Ὁ δὲ Ἀπολλώς, οὗτινος καὶ αὐτοῦ ὁ αὐτὸς ἀπόστολος μέμνηται ἐν τῇ πρὸς Κορινθίους πρώτῃ ἐπιστολῇ, ἐπίσκοπος Καισαρείας ἐγένετο. Ὁ δὲ Τυχικός, οὗ καὶ αὐτοῦ ὁ αὐτὸς ἀπόστολος μέμνηται, δεύτερος ἐπίσκοπος μετὰ Σωσθένην Κολοφῶνος ἐγένετο. Ὁ δὲ Ἐπαφρόδιτος, οὗτινος καὶ αὐτοῦ ὁ αὐτὸς ἀπόστολος μέμνηται, ἐπίσκοπος Ἀδράκης ἐγένετο. Ὁ δὲ Καῖσαρ, οὗ καὶ αὐτοῦ ὁ αὐτὸς[3] ἀπόστολος μέμνηται, ἐπίσκοπος Κορώνης γέγονε[4]. Οὗτοι πάντες καλῶς πολιτευσάμενοι καὶ ὁσίως ποιμάναντες καὶ κυβερνήσαντες τὰς λαχούσας αὐτοῖς ἐκκλησίας καὶ τὸν λαὸν καὶ πολλοὺς πειρασμοὺς καὶ βασάνους ὑπομείναντες ὑπὲρ Χριστοῦ, παρὰ τῶν εἰδωλολατρῶν ἐτελειώθησαν, παραδόντες τὰς ψυχὰς αὐτῶν τῷ Κυρίῳ, ὑπὲρ οὗ προθύμως ἐσφάγησαν.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Σωφρονίου ἐπισκόπου Κύπρου. Οὗτος γέγονεν ἀπὸ τῆς Κύπρου τῆς μεγάλης νήσου, χριστιανῶν καὶ εὐλαβῶν γονέων υἱός. Ἦν δὲ δι' εὐφυΐαν πολυμαθής[1], ἀναγνοὺς ἐπιμελῶς τὴν ἁγίαν γραφὴν καὶ μελετήσας τὰ λόγια Κυρίου νυκτὸς καὶ ἡμέρας. Τοσοῦτον δὲ γέγονεν ἐνάρετος καὶ εὐλαβής, ὥστε καὶ μεγάλων χαρισμάτων ἀξιωθῆναι καὶ πολλὰ θαύματα ποιῆσαι· διὸ καὶ μετὰ θάνατον Δαμιανοῦ τοῦ ἁγιωτάτου ἐπισκόπου Κύπρου, ὑπὸ τοῦ λαοῦ παντὸς καὶ τῶν ἐπισκόπων προχειρίζεται ἀρχιεπίσκοπος τῆς ἐν Κύπρῳ ἁγιωτάτης ἐκκλησίας. Παραλαβὼν δὲ τὴν ἐκκλησίαν, ἐγένετο πενήτων χορηγός, ὀρφανῶν βοηθός, χηρῶν προστάτης, καταπονουμένων λυτρωτής, γυμνῶν σκέπη. Οὕτω δὲ βιώσας καὶ Θεῷ ἀρέσας ἐν πᾶσιν, ἐν εἰρήνῃ ἐκοιμήθη.

5. Καὶ τὰ ἐγκαίνια τοῦ ναοῦ τῆς ὑπεραγίας Θεοτόκου ἐν τοῖς Κουράτορος.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Θ'.

1. Ἡ σύλληψις τῆς ἁγίας Ἄννης[1] μητρὸς τῆς Θεοτόκου. Ὁ κύριος ἡμῶν καὶ Θεὸς θέλων ἑτοιμάσαι ἑαυτῷ[2] ναὸν ἔμψυχον καὶ οἶκον ἅγιον εἰς κατοίκιαν ἑαυτοῦ, τὸν ἄγγελον αὐτοῦ ἀπέστειλε[3] πρὸς τοὺς δικαίους Ἰωακεὶμ καὶ Ἄνναν, ἐξ ὧν ἠθέλησε προελθεῖν τὴν κατὰ σάρκα μητέρα αὐτοῦ. Καὶ προεμήνυσε τὴν σύλληψιν τῆς ἀγόνου καὶ στείρας, ἵνα βεβαιώσῃ τῆς παρθένου τὴν γέννησιν· ὅθεν

— [7] *om.* Sa. — [8] δὲ Sa. — [9] λογιωτέρους Sa. — [10] (τοῖς - ὁμολογοῦσι) *om.* Sa. — [11] *corr. supra lin.* Sa. — [12] Σούνιλδις Ba, Σάνηλδις Sa, *et deinceps*. — [13] χώραν Sa. — [14] μεγίστων Sa. — [15] ἀπὸ Sa. — [16] ἑαυτοῦ Sa. — [17] *om.* Sa. — [18] τὴν *add.* Sa.

3. — [1] Ἀπολῶ S. — [2] Ἐπαφροδήτου S. — [3] *om.* Sa. — [4] ἐγένετο Sa.

4. — [1] πολλυμαθής S.

1. — [1] τῆς *add.* Sa *supra lin.* — [2] ἐν αὐτῷ Sa. — [3] ἀποστέλλει Sa.

Dec. 8. Κολωνείας (Dec. 7[4]). — **Db** : 1. — Ἰωάννου. — **F** : 1. 2. — **Fa** : 1. 2. — **B** : Ἀθηνοδώρου (Dec. 7[3]). — **Ba** : 1 (= S, des. : τὸ δὲ τίμιον αὐτοῦ λείψανον κατετέθη ἐν Κωνσταντινουπόλει). — Ἰωάννου ἐπισκόπου Κολωνείας (= S, Dec. 7[4]). — **Bb** : Ἀθηνοδώρου. — **T** : 1. — **L** : 1. — **Q** : 1. — Ἰωάννου. — **C** : mutil. : Ἰωάννου. — 4. 3. — **Ca** : Ἰωάννου. — 4. 3. — **Cb** : Ἰωάννου. — 3. — **Cc** : Ἰωάννου. — 4. 3. — **Cd** : Ἰωάννου. — 4. 3. — **M** : deest. — **Mv** : 1. 3. 4. — **Mb** : 1. 3. 2. 4. — Ἰωάννου συνασκητοῦ τοῦ μεγάλου Σάβα (Dec. 7[4]). — Τῆς προφήτιδος Ἄννης. — **Mr** : 1.

Dec. 9. SYNAXARIA SELECTA. **Sa** : 1. 2. — **Sb** : 1. 2. — **H** : 1. 3. 4. — Παταπίου (Dec. 8[1]). — **P** : 1. — Παταπίου. — 4. — **Da** : 1 (= F). 2 (= Ba). — **Db** : 1. 2. — **F** : 1 : Ταύτην τὴν ἡμέραν πανηγυρίζομεν ὡς ἀνάμνησιν ἔχουσαν τῶν ὑπ' ἀγγέλου δοθέντων χρησμῶν, τὴν ἁγίαν σύλληψιν εὐαγγελισαμένου τῆς ἀγνῆς θεομήτορος. Οὗς ἔργα ποιῶν ὁ ἐκ τοῦ μηδενὸς ὑποστήσας τὰ πάντα Θεὸς διήγειρε τὴν στειρεύ-

Dec. 9. συνελήφθη ἡ ἁγία παρθένος[4] καὶ ἐγεννήθη οὐχ,
ὡς λέγουσί τινες, ὅτι ἑπτὰ μηνῶν ἢ ὅτι[5] χωρὶς
ἀνδρός, ἀλλὰ τελείων ἐννέα μηνῶν καὶ ἐξ ἐπαγ-
f. 101. γελίας μέν, ἐκ συνα|φείας δὲ ἀνδρός. Μόνος γὰρ ὁ
κύριος ἡμῶν καὶ Θεὸς Ἰησοῦς Χριστὸς ἄνευ
ἀνδρὸς καὶ χωρὶς συναφείας καὶ σπορᾶς ἐγεννήθη
ἐκ τῆς ἁγίας ἀειπαρθένου, ἀπορρήτως καὶ ἀνερμη-
νεύτως, ὡς οἶδεν ἐκεῖνος μόνος· καὶ τέλειος ὑπάρ-
χων Θεός, πάντα αὐτοῦ τῆς κατὰ σάρκα οἰκονο-
μίας τέλεια προσελάβετο, καθὼς καὶ τὴν τῶν
ἀνθρώπων φύσιν ἐδημιούργησε καὶ[5] ἔπλασε τὸ
κατ' ἀρχάς. Τελεῖται δὲ ἡ αὐτῆς σύναξις ἐν τῷ
σεβασμίῳ αὐτῆς οἴκῳ τῷ ὄντι ἐν τοῖς Χαλκοπρα-
τείοις[6], πλησίον τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς
ἡμῶν Στεφάνου τοῦ νεολαμποῦς, τοῦ[1] ἐν τῷ
ἁγίῳ Ἀντίπᾳ κειμένου. Οὗτος ὁ ἀρτιφανὴς ἀστὴρ
ὑπῆρχεν Κωνσταντινουπόλεως γέννημά τε καὶ
θρέμμα, πατέρες δὲ αὐτῷ Ζαχαρίας καὶ Θεοφανὼ
πάσῃ ἀρετῇ καὶ συνέσει κοσμούμενοι[2] καὶ τὰς
οἰκήσεις ποιούμενοι ἐν τῇ τοποθεσίᾳ τοῦ Ζεύγμα-
τος[3], οὐ μακρὰν τοῦ ναοῦ τοῦ θείου πρωτομάρτυ-
ρος καὶ ἀρχιδιακόνου Στεφάνου. Τοῦτον ἡ μήτηρ
ἐγκυμονοῦσα παντοίας τροφῆς παχυτέρας ἀπεί-
χετο, ἄρτῳ καὶ λαχάνοις καὶ ὕδατι ἀρκουμένη μέχρι
τοῦ τοκετοῦ. Τεχθέντος δὲ τοῦ παιδὸς σταυρὸς
φωτοειδὴς καὶ ὑπέρκαλος ἐν τοῖς στέρνοις αὐτοῦ
ὠράθη· ὅπερ σημεῖον μέγιστον τῆς εἰς ὕστερον
αὐτῷ γενομένης τοῦ βίου[4] σταυρώσεως δέδεικται.
Ἐπεὶ δὲ σπαργάνοις ἐνειλήθη ὁ παῖς, ἀνάγκη ἦν
καὶ μαζὸν αὐτὸν ἕλκειν· καὶ εἴ γε τῇ μητρὶ δαψι-
λεστέρας τροφῆς ἐμφορηθῆναι ἔδοξεν, οὐδ' ὅλως
ἥπτετο τῶν μαστῶν, πολλάκις καὶ διὰ δύο καὶ
τριῶν ἡμερῶν, εἰ τοῦτο συνέβη· καὶ λοιπὸν ἡ τοῦ
παιδὸς τροφὴ τῆς μητρὸς ἦν ἐγκράτεια· ἐντεῦθεν
ἔκπληξις ὁμοῦ καὶ θλίψις εἶχε τοὺς φίλους καὶ
συγγενεῖς. Εἶτα βαπτίζεται, ἀπολύεται τῶν σπαρ-
γάνων, ἀπογαλακτίζεται, κατὰ λόγον αὐξάνει καὶ
εἰς τὴν διατριβὴν τῶν γραμμάτων ἐκπέμπεται· ἃ
καὶ προθύμως μετήρχετο καὶ ἦν τοῖς γονεῦσιν
ὑποτασσόμενος. Ἐπεὶ δὲ ἐκ ποδῶν ὁ θεομισὴς
ἐγένετο Θεόφιλος καὶ παραυτίκα ἐπὶ τὸν τῆς
ἀρχιερωσύνης θρόνον ψήφῳ θείᾳ ὁ ἐν ἁγίοις
Μεθόδιος ἀνάγεται, καὶ ὁ τίμιος Ζαχαρίας ὁ τοῦδε
πατὴρ ὑπ' αὐτοῦ χειροτονεῖται πρεσβύτερος καὶ
τῷ τῆς μεγάλης ἐκκλησίας καταλέγεται κλήρῳ. 5
Τότε δὴ καὶ ὁ θεῖος Στέφανος κείρεται τὴν κόμην
τῆς κεφαλῆς, καὶ αὐτὸς[5] κληρικὸς καθίσταται καὶ
τῷ πατρὶ ἀκολουθεῖ εἰς τὴν μεγάλην ἐκκλησίαν
ἐνδελεχῶς ἀπιόντι· τῷ ὀκτωκαιδεκάτῳ δὲ ἔτει τῆς
τοῦ παιδὸς ἡλικίας ὁ πατὴρ τὸν βίον καταλιμπάνει. 10
Αὐτὸς δὲ ἐν | τῷ εὐκτηρίῳ τοῦ ἁγίου καὶ κορυ- f. 101
φαίου[6] Πέτρου ἐγκλείσας ἑαυτὸν ἀπρόϊτος ἦν
ἐκεῖσε διατελῶν προσευχόμενος καὶ λαχάνοις
μόνοις ἀρκούμενος. Ἐν τούτοις αὐτοῦ πολιτευο-
μένου, μιᾷ τῶν νυκτῶν ἐπιφαίνεται αὐτῷ ὁ τοῦ 15
Κυρίου ἀπόστολος Πέτρος καί φησιν· « Εἰρήνη
» σοι, τέκνον, καλή σου τῆς προθυμίας ἡ ἀρχή. Ὁ
» Κύριος ἐνδυναμώσει σε. » Οὕτως[7] ἐπὶ τρισὶν
ἔτεσι προσκαρτερήσας, καθορᾷ τὸν θεῖον καὶ ἱερο-
μάρτυρα Ἀντίπαν αὐτῷ λέγοντα[8]· « Εἰρήνη σοι, 20
» τέκνον, ψάλλε μοι καὶ οὐ μή σε ἐγκαταλίπω. »
Ἔκτοτε δὲ ἐπέτεινεν ἑαυτὸν ἐπὶ πλεῖον[9] τῇ προσ-
ευχῇ καὶ νηστείᾳ, ἅπαξ τῆς ἑβδομάδος ἢ δὶς τοῦ
λαχάνου μετέχων· κράμβη δὲ ἦν ἄνευ ἅλατος·
οὕτως ἑαυτὸν καθαγνίσας, τῆς τοῦ πρεσβυτέρου 25
τιμῆς ἀξιοῦται, πλεῖστα ἐργασάμενος θαύματα. Τῷ
δὲ δωδεκάτῳ ἔτει τοῦ τῆς εὐσεβοῦς λήξεως βασι-
λέως Βασιλείου καὶ σαρακοστῷ[10] τῆς ἡλικίας τοῦ
ὁσίου, σεισμὸς μέγιστος γέγονεν. Ἐξ οὗ τοῦ
ναοῦ[11] τοῦ ἁγίου Ἀντίπα πανταχόσε διαρραγέντος, 30
ἐξῆλθεν ἐκεῖθεν ὁ ὅσιος[12] καὶ εἰσῆλθεν ἔν τινι
λάκκῳ ταφοειδεῖ, ἐν ᾧ προσκαρτερήσας χρόνους
δώδεκα, διεφθάρησαν αἱ τρίχες τῆς κεφαλῆς καὶ
τοῦ πώγωνος αὐτοῦ καὶ οἱ ὀδόντες ἐχανώθησαν,
καὶ σχεδὸν ὅλον τὸ σῶμα τοῦ ἁγίου κατελύθη[13]· 35
πάνυ γὰρ ἦν ὁ τόπος ὑπὸ πολλῆς νοτίδος πολιορ-
κούμενος[14]. Καὶ ἀναγκασθεὶς ἐξῆλθε τοῦ λάκκου
ὅλος νενεκρωμένος καὶ ὑπεράνω σανίδας[15] κατα-
στρώσας καὶ τρίχινον ὑποθεὶς σάκκον, ἀνέκλινεν
ἑαυτὸν ἄνωθεν τοῦ σάκκου καὶ τῶν σανίδων. Εἶτα 40
τὸ ἀγγελικὸν ὑποδὺς σχῆμα, ὁπόταν ἐν ταῖς

— [4] Μαρία *add.* Sa. — [5] ἕως *add.* S. — [6] ἐν τῷ σεβασμιωτάτῳ οἴκῳ αὐτῆς τῷ ὄντι ἐν τοῖς εὐουράνοις πλησίον τῆς μεγάλης ἐκκλησίας Sa.

2. — [1] τῷ Sa. — [2] κοσμουμένη Sa. — [3] Ζεύματος Sa. — [4] τοῦ βίου γενομένης Sa. — [5] *om.* Sa. — [6] ἀποστόλου *add.* Sa. — [7] οὖν *add.* Sa. — [8] λέγων αὐτῷ Sa. — [9] ἐπὶ πλεῖον *om.* Sa. — [10] σαρακοστὸν S, τεσσαρακοστῷ Sa. — [11] τοῦ ναοῦ *om.* Sa. — [12] ὁ ὅσιος *corr.*, *prius* ὁσίως Sa. — [13] σῶμα αὐτοῦ παρελύθη Sa. — [14] πολυουρκούμεγος Sa. — [15] σανίδος Sa. 45

Dec. 9. ουσαν νηδὺν εἰς καρπογονίαν καὶ τὴν ἐν ἀπαιδίᾳ τὸν βίον καταγηρῶσαν παιδοτόκον μητέρα παρα-
δόξως ἐργάζεται, ἄξιον πέρας τῆς δικαίας αἰτήσεως τῶν δικαίων τοῦτο παρασχών. Ἐξ ἧς αὐτὸς ἔμελλε
σαρκοφόρος Θεὸς προελθεῖν εἰς ἀναγέννησιν τοῦ παντός, θυγατέρα τεκεῖν τοὺς σώφρονας εὐδοκήσας
γεννήτορας Θεοῦ καὶ ἀνθρώπων μεσίτριαν, τὴν πρὸ αἰώνων ἐκ πασῶν γενεῶν γενήσεσθαι προωρισμέ-
νην τε καὶ ἐκλελεγμένην. — 2. — **Fa** : 1. 2. — **B** : 1. — Ἰωάννου (Dec. 7[4]). — Σωσθένους κτλ. (Dec. 8[3]). — 50
Παταπίου (Dec. 8[1]). — Σωφρονίου (Dec. 8[1]). — **Ba** : 1. 2 : Στεφάνου τοῦ νέου τοῦ ἐν τῷ ἁγίῳ Ἀντίπᾳ.
Οὗτος ἦν Κωνσταντινουπόλεως γέννημα καὶ θρέμμα, πατέρων Ζαχαρίου καὶ Θεοφανοῦς τὰς οἰκήσεις
ποιουμένων ἐν τῇ τοποθεσίᾳ τοῦ Ζεύγματος, εὐλαβῶν καὶ θεοφιλῶν... Des. : τραχὺν τῆς ἀσκήσεως
δρόμον τὸ τριακοστὸν τῆς ὅλης αὐτοῦ ζωῆς ἐννάτῃ τοῦ δεκεμβρίου μηνὸς κεκοίμηται. — **Bb** : 1. —
Ἰωάννου. — Σωσθένους κτλ. — Παταπίου. — Σωφρονίου. — **T** : 1. — **L** : 1. 2. — **Q** : 1. — Ἐασίου. 55
Οὗτος ἦν ἐπὶ Διοκλητιανοῦ βασιλέως· διαβληθεὶς δὲ πρὸς τὸν ἄρχοντα Καλβησιανὸν καὶ τὸν Χριστὸν
μὴ ἀρνησάμενος, πρῶτον μὲν δεσμεῖται χεῖρας καὶ πόδας· ἔπειτα κρεμᾶται ἐπὶ ξύλου ὀρθοῦ καὶ χερσὶ
σιδηραῖς ξέεται. Μετὰ δὲ ταῦτα σφυραῖς σιδηραῖς τὰς κνήμας αὐτοῦ θλάττεται καὶ τῇ εἱρκτῇ ἐναπορ-
ρίπτεται· εἶτα πάλιν ἐκβληθεὶς σιδηροῖς ὄνυξι πεπυρακτωμένοις τὰς ἀκοὰς αὐτοῦ κατετρήθη· καὶ αὖθις

δεσποτικαῖς ἑορταῖς τὴν θείαν λειτουργίαν ἐπετέ-
λει, ἐν τῇ ἀπολύσει ἰσχάδα μόνην ἐλάμβανε καὶ
ὕδατι βραχυτάτῳ τὸ στόμα αὐτοῦ περικλύζων,
διέμενεν ἐν τούτοις ἀρκούμενος. Οὕτως ὁ μακά-
5 ριος καὶ οὐρανοπολίτης πατὴρ ἡμῶν ἐπὶ πέντε καὶ
πεντήκοντα ἔτεσι τὸν ἐπίπονον καὶ τραχὺν τῆς
ἀσκήσεως διηνυκὼς δρόμον, τῷ ἑβδομηκοστῷ
τρίτῳ ἔτει τῆς ὅλης αὐτοῦ ζωῆς μᾶλλον δὲ νεκρώ- Dec. 9.
σεως τὸ πνεῦμα αὐτοῦ εἰς χεῖρας Θεοῦ παρατί-
θεται.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων ἀναργύρων
Κοσμᾶ καὶ Δαμιανοῦ.

4. Καὶ ἄθλησις τῶν ἁγίων μαρτύρων Σωσι-
θέου, Ναρσῆ καὶ Ἰσαάκ.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ι'.

1. Ἄθλησις τῶν ἁγίων μαρτύρων Μηνᾶ, Ἑρμο- Dec. 10.
10 γένους καὶ Εὐγράφου. Ὁ ἅγιος μάρτυς Μηνᾶς
f. 102. ἦν ἐπὶ Μαξιμιανοῦ | τοῦ βασιλέως. Ἐγένετο δὲ εἰς
Ἀλεξάνδρειαν ζήτησίς τινων πραγμάτων καὶ ἀπε-
στάλη παρὰ τοῦ βασιλέως, ἵνα[1] λύσῃ[2] τὴν φιλονεικ-
κίαν ὡς σοφὸς καὶ ῥήτωρ. Ἀπελθὼν οὖν εἰς
15 Ἀλεξάνδρειαν καὶ τὴν φιλονεικίαν διέλυσε[3], καὶ
τοὺς χριστιανοὺς προθυμοτέρους ἐποίησεν καὶ
πολλοὺς τῶν ἀσθενούντων ἰάσατο. Ἀκούσας δὲ
ταῦτα ὁ βασιλεὺς ἀποστέλλει Ἑρμογένην τὸν
ἔπαρχον, ἵνα βασανίσῃ τὸν ἅγιον Μηνᾶν καὶ μετα-
20 στήσῃ αὐτὸν ἀπὸ τῆς τῶν χριστιανῶν πίστεως.
Ὁ δὲ ἀπελθὼν ἐτύφλωσε τὸν ἅγιον καὶ τὴν γλῶτ-
ταν αὐτοῦ ἔκοψεν. Ὡς δὲ εἶδε πάλιν αὐτὸν ὑγιά- Dec. 10.
ναντα, ἐπίστευσε καὶ αὐτός. Καὶ παρὰ μὲν τοῦ
ἁγίου Μηνᾶ ἐβαπτίσθη, παρὰ δὲ τῶν συνελθόντων
ἐπισκόπων ἐχειροτονήθη ἐπίσκοπος. Ἀκούσας δὲ
ὁ βασιλεὺς αὐτὸς ἀπελθὼν ἐτιμωρήσατο αὐτούς,
ὁμῶς[4] καὶ τὸν νοτάριον τοῦ ἁγίου Μηνᾶ Εὐγρα-
φον πιστεύσαντα· καὶ οὕτως αὐτοὺς μαχαίραις
κατακόψας ἐθανάτωσεν. Ἀνηνέχθη δὲ τὰ τίμια
αὐτῶν λείψανα καὶ κατετέθη ἐν Βυζαντίῳ[5], ἔνθα
νῦν εἰσι, τοῦτο τοῦ ἁγίου Μηνᾶ πρὸς Κύριον δεη-
θέντος. Τὸ δὲ μαρτύριον αὐτῶν, ὥς φασιν, συνε-
γράψατο ὁ μέγας Ἀθανάσιος ὁ Ἀλεξανδρείας.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου καὶ

1. — [1] *om.* Sa. — [2] λύσαι Sa. — [3] ἔλυσε Sa. — [4] ὅμως S, ὁμοίως Sa. — [5] Κωνσταντινουπόλει Sa.

τῇ τοῦ ξίφους τιμωρίᾳ κατεδικάσθη καὶ οὕτως ἐτελειώθη. — **C** : 2. 1. 4. — Παταπίου (Dec. 8[1]). — **Cb** : Dec. 9.
1. — Παταπίου. — **Cc** : 2. 1. 4. — Παταπίου. — **Cd** : 1. 4. — Παταπίου. — **M** : deest. — **Mv** : 1. —
25 τῆς ἁγίας προφήτιδος Ἄννης τῆς μητρὸς Σαμουὴλ τοῦ προφήτου. — 2. 4. — **Mb** : 1. 2. 3. 4. — Τῶν
ἀδελφῶν τῶν ἐν τῇ Σκύρῳ τελειωθέντων. — **Mr** : 1.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. — **Sb** : 1. 2. — **H** : 1. 3. 4. 5. — **P** : 1 : (τούτων τῶν Dec. 10.
ἁγίων μαρτύρων τὸ μαρτύριον συγγράφεται ὁ ἅγιος Ἀθανάσιος Ἀλεξανδρείας). — 3. — **Da** : 1 (= F).
2. — **Db** : 1. 2 (Γεμέλδου). — **F** : 1. 2. — **Fa** : 1 : Μηνᾶ, Ἑρμογένους καὶ Εὐγράφου. Οὗτοι
30 ὑπῆρχον ἐπὶ τῆς βασιλείας Μαξιμίνου. Ζητήσεως δὲ γεναμένης παρὰ τῶν Ἀλεξανδρέων περί τινων
κινηθέντων ... Des. : Συνανηρέθησαν δὲ καὶ ὁ ἅγιος Μηνᾶς καὶ Ἑρμογένης μαχαίραις, ἀμφότεροι
Ἀθηναῖοι καὶ αὐτοὶ ὑπάρχοντες· καὶ ἀνηνέχθη τὰ τίμια αὐτῶν λείψανα θείῳ προστάγματι καὶ κατετέθη
ἐν τῷ προτειχίσματι Ἀκροπόλεως, ἔνθα νῦν εἰσι θαυματουργοῦντες καὶ μέγιστα σημεῖα ἐπιδεικνύ-
μενοι. — 2. — **B** : 1. 2. — **Ba** : 1 (Οὗτοι ὑπῆρχον ἐπὶ τῆς βασιλείας Μαξιμίνου· ὁ γοῦν μακάριος
35 Μηνᾶς κτλ.). — 2 (= S). — **Bb** : 1. 2. — **T** : 1. — **L** : 1. — **Q** : 1. — Λευκίου. Οὗτος ὑπῆρχεν ἐπὶ
Δεκίου τοῦ βασιλέως, γένους ὑπάρχων ἐντίμου κτλ. (cf. Dec. 14[1]). — **C** : 1. 3. 4. 2. — Μνήμη τοῦ ὁσίου
πατρὸς ἡμῶν Λουκᾶ ἐπισκόπου Εἰσόλων τοῦ γραμματικοῦ τοῦ ἐν Σουλάνου κοιμηθέντος. — **Ca** : 1. 3.
4. 2. — Λουκᾶ. — **Cb** : 1. 2. — **Cc** : 1. 3. 4. 2. — **Cd** : 1. 3. 4. 2. — **M** : mutil. Θωμᾶ. — **Mv** : 1. 2. —
Θωμᾶ τοῦ Δεφουρκινοῦ. — **Mb** : 1. 2. — Θωμᾶ Δεφουρκινοῦ. Οὗτος ὁ ἱερὸς Θωμᾶς πατρίδα[1] ἔσχε
40 τὴν εἰς πρόποδας τοῦ Κυμιναίου[2] ὄρους τῆν ἀποφέρουσαν, γεννήτορες δὲ τούτῳ[3] ἰδιῶταί τινες καὶ ἐν
αὐταρκείᾳ βιοῦντες. Πάντων δὲ[4] καταφρονήσας ἔτι σφριγῶν καὶ ἀκμάζων τὴν ἡλικίαν, τὸν τῶν μονα-
χῶν παρεζήλωσε[5] βίον. Εἰωθὼς γὰρ νηπιόθεν τοῖς σεμνείοις παραβάλλειν σὺν τῷ πατρί, ἑνὶ τῶν ἱερῶν
καταγωγίων συναρμολογηθεὶς παιδοτρίβῃ εἰς ἄσκησιν γραμμάτων πρῶτον[6] ἐκδίδοται. Καὶ ἐν ὀλίγῳ τό
τε ψαλτήριον, τοὺς ἱεροὺς[6] ἀποστολικοὺς λόγους καὶ λοιπὴν πᾶσαν[6] ἐκκλησιαστικὴν ἀκολουθίαν
45 διέλαβε. Τὰ μὲν δὴ πρῶτα τοῦτον ἔχει τὸν τρόπον καὶ τοῦ καθ' ἀρετὴν βίου τὰ λῆϊα ἐντεῦθεν ἀρχὴν τοῦ
προκόπτειν εἰλήφασιν. Ἐπεὶ δὲ πρὸς ἡλικίαν ὁ παῖς μετεπλάττετο, τὸ ἀγγελικὸν[7] ἠμφιάσατο σχῆμα[6]
καὶ πρὸς τοὺς κατ' ἐχθρὼν ἀγῶνας ἀμεταστρεπτὶ ἐχώρει, καὶ κάλλος[8] τῆς ψυχῆς τῶν[6] ἀρετῶν τοῖς
χρώμασιν ἀναμορφωσάμενος, ὡς εἰκόνισμα θεῖον τοῖς ὁρῶσιν ἐδείκνυτο. Τότε περίδοξός τις τῶν
τοῦ Βυζαντίου μεγιστάνων ἐν τῷ πρὸς Σάγγαριν[9] ποταμῷ, φροντιστήριον ἐδείματο· ὄνομα τῷ
50 ἄρχοντι Γαλολήκτη[10]. Καὶ τῷ ἐκεῖσε ἐπισκόπῳ περὶ τούτου κοινολογησάμενος, τῶν ὑπ' αὐτὸν μονα-
στηρίων ἐλλογίμους ἐπιλέξασθαι ἠξίου, εἰς τὴν[11] λειτουργίαν τοῦ ὑπ' αὐτοῦ καινουργηθέντος
σεμνείου· καὶ τὸν μακάριον εὐθὺς Θωμᾶν ὡς περιβόητον ἄνδρα καὶ ἀκριβῆ κανόνα τῆς ἐγκρατείας[12]
ἡγεῖσθαι τῶν συνεληλυθότων ὁ ἐπίσκοπος συνεβούλευε. Καὶ δὴ ταύτην εὐφυῶς ἐπὶ χρόνους ἰθύνας,
ὅσον αὐτὸς ἐκρύπτετο ταπεινούμενος, τοσοῦτον ὡς ποικίλης ἀρετῆς καταγώγιον πᾶσιν ἐγνωρίζετο.
55 Ὡς δὲ λοιπὸν δι' ὄχλου ὑπὸ τῶν παραβαλλόντων ἐγένετο, ἐδυσχέραινεν ἐπὶ τούτῳ, καὶ τί[11] μηχανᾶται;

[1] οὗτος πατρίδα ἐπὶ Mv. — [2] Κυμηναίου Mb. — [3] οἱ δὲ τούτου γ. Mv. — [4] τε Mv. — [5] ἐζήλωσεν Mv. — [6] *om.* Mv. — [7] ἔνδυμα *add.* Mv. — [8] τὸ *add.* Mv. — [9] προ σαγαριν Mb. — [10] τῷ ἀνδρὶ Γαλολείκτη Mv. — [11] *om.* Mv. — [12] τῶν ἐνκρατείαν Mv.

Dec. 10. πολυάθλου μάρτυρος Γεμέλλου[1]. Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Ἰουλιανοῦ τοῦ παραβάτου ἐκ τῆς ἐνορίας Κλιμαξίνης. Τὴν ὁδὸν δὲ ποιουμένου τοῦ παραβάτου διὰ τῆς Ἀγκυρανῶν μητροπόλεως, ἔστη ὁ ἅγιος κατὰ πρόσωπον τοῦ ἀσεβοῦς, ῥήμασιν ἐνθέοις ὥς τισι βέλεσι κατατιτρώσκων αὐτόν. Ὁ δὲ ὑπερζέσας τῷ θυμῷ, κελεύει καὶ ζώννυται ὁ ἅγιος[2] ζώνην σιδηρᾶν πεπυρακτωμένην καὶ κατακαίεται σφοδρῶς, τοῦ ἀπορρέοντος ἐκ τῆς καύσεως ὑγροῦ τὴν γῆν ἅπασαν πληροῦντος· καὶ αὐτὸς ἐπηκολούθει τῷ ἀσεβεῖ ἐλαυνόμενος κατὰ τὴν ὁδόν. Ἐπεὶ οὖν κατέλαβεν ὁ ἀλάστωρ τὸ τῆς Ἐδέσης[3] πολίχνιον, πάλιν ὁ στερρὸς ὁπλίτης τείνεται ἐκ τεσσάρων καὶ ξύλοις ἀγρίοις αἰκίζεται. Καὶ μετὰ ταῦτα σιδήροις πυρωθεῖσι διαπείρεται τὸ σῶμα καὶ ἀναρτηθεὶς ξέεται. Ὡς δὲ κατεγέλα τῶν βασάνων ὁ ἀδάμας καὶ[4] τὸν ἀσεβῆ ἐνύβριζεν[5], αὐτίκα πυρωθέντι τηγάνῳ καὶ μεμεστωμένῳ[6] ἐλαίου, ῥητίνης καὶ στέατος <καὶ[7]> ὑποκαιομένῳ ἐμβάλλεται, ἄνωθεν ῥάβδοις τυπτόμενος σιδηρᾶς ἀκίδας ἐχούσαις. Ἀλλὰ θείᾳ ῥοπῇ βαγδαίου κατενεχθέντος ὑετοῦ, τὸ πῦρ κατεσβέσθη καὶ ὁ μάρτυς ἀβλαβὴς διέ|μεινεν. Ταῦτα ἰδὼν ὁ μιαρὸς[8] ἐξέστη καὶ πάλιν ἐκέλευσεν. Καὶ πληροῦσιν ἥλων τὴν f. 102r.

2. — [1] Γεμέλου Sa. — [2] ὁ ἅγιος ζώνυνται Sa. — [3] Ἐδέσσης Sa. — [4] πρὸς *add.* Sa. — [5] ἐξύβριζεν Sa. — [6] Sa, μεμεστωμένου S. — [7] Sa, *om.* S. — [8] τύραννος *add.* Sa.

Dec. 10. περισκοπήσας τῆς ἀδελφότητος[13] τὸν ἐξαίρετον, ἡγεῖσθαι τοῦτον διακελευσάμενος τοῖς λοιποῖς τῶν ἀδελφῶν, αὐτὸς ἐφοδιασθεὶς[14] ταῖς[15] εὐχαῖς, ὑπώρειαν[16] εὑρὼν ἡσυχίας ἁρμόδιον, μονώτατος ἐν αὐτῇ εἰσοικίζεται. Ἀλλ' ἐπεὶ τὸν νομέα ἐξήτουν τὰ πρόβατα, τοὺς λόφους καὶ τὰς ὑπωρείας οὐκ ἐνεδίδοσαν ἐρευνῶντες, ἕως οὗ πρὸς αὐτὴν τὴν ὑπώρειαν αἴθριον τὸν πατέρα κατέλαβον. Καὶ τῶν χειμερινῶν νιφάδων τὸ δριμὺ λογισάμενοι καὶ τῶν θερινῶν καύσεων τὸ φλογῶδες τὸν πατέρα ἐξελιπάρουν· « Ἵνα τί σκληροτέραις ἀγωγαῖς σεαυτόν, λέγοντες, κατατρύχεις, μὴ λογισάμενος τῆς ἐκ[17] χοὸς ἡμῶν » διαπλάσεως τὴν ἀσθένειαν, ὡς ἐν ταῖς δυσκρασίαις ἑτοίμως εἴωθε διαλύεσθαι; » Καὶ μόλις ποτὲ τούτων συνθέμενος τῇ βουλῇ, μικρὸν γενέσθαι παρηγγύα[18] μοναχοῖς αὐτῷ καταγώγιον. Καὶ τούτου περαιωθέντος, ἐν τῷ κυριακῷ μόνος ὑπεισελθών, τοῖς γόνασιν ὑποκλίνας[19] πρὸς τοὔδαφος· « Τοὺς » πρὸς τὴν σὴν εὐαρέστησιν, Κύριε, πρὸς ἡμᾶς τοὺς ἀναξίους ἄνδρας παραγενέσθαι[20] ἀξίωσον » ἔλεγε. Καὶ δή, ὡς ἐξ ἀποστολῆς τότε τινὲς πρὸς αὐτὸν εὐλαβέστατοι προσέβαλον κοσμικοὶ ἀποκείρεσθαι δυσωποῦντες καὶ συνδιάγειν αὐτῷ εἰς ὑπακοήν. Τούτους[21] ὡς πρὸς Κυρίου ἐλθόντας[22] τὴν ἱερὰν στολὴν ἀμφιέννυσι, καὶ ὡς τοὺς πρώτους τῶν μαθητῶν τοῦ Χριστοῦ τὸν μὲν Ἰωάννην ἐκάλεσε, τὸν δὲ Πέτρον· καὶ σὺν αὐτοῖς τὰς δεήσεις ἐπιπονωτέρας ἐποιεῖτο πρὸς Κύριον. Ἀλλ' οὐκ ἔφερεν ἐπὶ πολὺ ὁ καινουργὸς τῆς κακίας ὁρᾶν ἡττωμένας[23] τὰς τῆς πονηρίας αὐτοῦ ἐμβολάς[24]. Καὶ[25] πρῶτον τούτῳ πλῆθος ἐπιρρίπτει κωνώπων, ὡς μήτε[26] πρὸς βραχὺ ταύτας ὑπενδοῦναι τῷ γέροντι, ἀλλὰ καὶ κοιταζομένῳ <ὡς[27]> σκόλοπες ἐπετίθεντο[28] καὶ ἀνισταμένῳ εἰς προσευχὴν διὰ τῶν χειλέων πρὸς[29] τὸν γαργαρεῶνα εἰσέδυνον· εἰ δέ που καὶ τὴν βίαν τῆς φύσεως δι' εὐτελοῦς παρηγόρει[30] τροφῆς, κωνώπων πλῆρες τὸ προσαγόμενον ἦν. Καὶ τούτοις ἐπὶ τρισὶν ὅλοις ἔτεσιν διακαρτερῶν[31] ἀγεννῶς[32], οὐκ ἐστέναζεν, ἀλλὰ μᾶλλον εὐχαριστῶν, λύσιν πρὸς Κυρίου τῶν ἀνιαρῶν ἐπεζήτει. Ἀλλ' ὀψέ ποτε τῆς ἀποχῆς τῶν κωνώπων οἰκονομηθείσης ἐκ Θεοῦ[33], μυῖαι εὐμεγέθεις ἐπανίστανται τῷ πατρὶ τὴν ἐκ τῆς ἐγκρατείας αὐτῷ δαπανηθεῖσαν δορὰν[34] ὡς ἠκονημένα βέλη κατατιτρώσκουσαι. Ταύτας δὲ πάλιν διαδεξάμενοι μύρμηκες, ἐν τοσούτοις χρόνοις τῷ ἀθλητῇ παρατάσσονται[35], ἀδεῶς αὐτῷ κατ' ὀφθαλμῶν καὶ τῶν μυκτήρων ἐπιρριπτούμενοι. Ἀλλ' ἐπεὶ ὥσπερ τινὰ δρῦν τοῦτον ἀμετάκλιτον[36] ἔβλεπεν ὁ πειράζων, ὡς[37] μιᾶς ἡμέρας τὰς ἐπὶ χρόνοις ἐννέα λογισθῆναί οἱ τῶν ἀλγεινῶν ἐπιφοράς, ἐπιμανέστερον μᾶλλον αὐτῷ ἐπιτίθεται. Καὶ ἐπεὶ ὁ πανοῦργος οὐ πρὸς τὴν ἐκ πλευρᾶς ἀχθεῖσαν εἰδὼς ἔχειν τὴν μάχην, ἀλλ' ὡς ἐπ' αὐτὸν τὸν ἐν εἰκόνι καὶ χειρὶ τιμηθέντα Θεοῦ, οὐ μόνον πρὸς τὴν[38] συμπλοκὴν τῆς μάχης παρασκευάζεται[39], ἀλλὰ[40] πάντας τοὺς ὑπ' αὐτὸν[41] συναγαγὼν ὄφεις, ἐπεμβαίνει τῷ μακαρίῳ. Εἰπεῖν δὲ πρᾶγμα ὁ λόγος ἐπείγεται ὡς δυσέφικτον τοῖς πολλοῖς· οὐκ ἦν γὰρ εἶδος δράσεως τῷ πατρὶ ὃ μὴ μορφὴ ὄφεως αὐτῷ ἐπεφαίνετο· ἀλλ' ὅποι δήποτε περιφερόμενος ἵστατο, εἴτε χρειωδῶς τῇ ἀφῇ κατελάμβανέ τι, ἐν αὐτῷ[42] τῷ σκεύει καὶ ὄφις ἀνεκαλύπτετο· καὶ τοῦτο οὐχ ἅπαξ ἢ δίς, ἀλλὰ δι' ὅλου, καὶ οὐχ ἑνὶ χρόνῳ ἢ δυσὶν[43] ἀλλ' ἐν ὅλοις ἕνδεκα ἔτεσι πειραζόμενος ὑπὸ τῶν ὄφεων, οὐκ ἐνάρκησεν. Ὁσάκις γὰρ αὐτῷ ἀνακλιθῆναι τῇ κατὰ συνήθειαν[44] κλίνῃ ἔδοξεν, ἑκατέρωθεν καὶ ὄφεις συνανεκλίνοντο. Ἀλλὰ τούτων ἀβλαβὴς τῇ προμηθείᾳ τῆς προνοίας διεφυλάττετο. Τούτῳ ποτὲ τὴν ἀναίμακτον ἐπιτελοῦντι λατρείαν[45] καὶ ἤδη λοιπὸν πρὸς τὸ τέλος τῆς ἱερουργίας[46] λαχόντι, δράκων ἐρπύσας ποθὲν φοβερὸς τὴν κόγχην τοῦ εὐκτηρίου περιεζώσατο. Τῷ συμπονοῦντι δὲ τῷ πατρὶ ἀδελφῷ πρὸς τὴν τῆς ἱερουργίας διακονίαν, τότε εἰς τὴν τοῦ εὐκράτου προσκομιδὴν ἐξελθόντι[47], τῆς κόχης ἀπορραγὲν τὸ θηρίον[48], παρὰ τῇ φλιᾷ πεσὸν τῆς εἰσόδου ὡς βοῦς, ξένον ἐδείκνυτο θέαμα. Ὡς δὲ τὸ πρὸς σύνηθες τῶν μυστηρίων περάνας ὁ ἱερεὺς τοῦ διαδότου[49] τοῦ εὐκράτου[50] ἐπιχρονίζοντος ᾔσθετο, ὡς[51] πρὸς αὐτὸν ἀπιδεῖν βουληθεὶς ἐωράκει τὸν μὲν θῆρα τῇ φλιᾷ ἐπικείμενον, τὸν δὲ διακονητὴν ὑπότρομον

[13] τῶν ἀδελφῶν Mv. — [14] ἐφοδιασάμενος Mv. — [15] τούτων *add.* Mv. — [16] ὑπόρροιαν Mb. — [17] τοῦ *add.* Mv. — [18] παρηγγυᾶτο τοῖς Mv. — [19] ἑαυτὸν *add.* Mv. — [20] ἀφικέσθαι Mv. — [21] καὶ Mv. — [22] τούτους ἐληλυθότας Mv. — [23] *om.* Mv. — [24] καὶ ἐμβολὰς ἡττωμένας Mv. — [25] δὴ *add.* Mv. — [26] μήποτε Mv. — [27] κοιταζόμενος ὡς Mv. — [28] τούτῳ Mv. — [29] εἰς Mv. — [30] ἐπαρηγόρει Mv. — [31] ἐγκαρτερῶν ἦν Mv. — [32] ἐν οἷς Mv. — [33] ἐκ Θεοῦ οἰκονομικῶς ἀπαλλαγεὶς Mv. — [34] δορρὰν δ. Mv. — [35] ἀντιπαρατάσσοντο Mv. — [36] ἀμετάβλητον Mv. — [37] ἐπὶ *add.* Mv. — [38] *om.* Mv. — [39] παρασκευάζηται Mb. — [40] καὶ *add.* Mv. — [41] σὺν αὐτῷ Mv. — [42] ἑαυτῷ Mb. — [43] (ἀλλὰ δι' - δυσὶν) *om.* Mv. — [44] συνήθην Mb. — [45] λατρείαν ἐπιτελοῦντι Mv. — [46] λειτουργίας Mv. — [47] ἐξελθόντος Mb. — [48] τὸ θηρίον ἀπορραγὲν Mv. — [49] συμπεράνας ... διακόνου Mv. — [50] τὸν εὐκράτον Mv. — [51] *om.* Mv.

κεφαλὴν αὐτοῦ, ὥστε καὶ τοῦ ἐγκεφάλου αὐτοῦ ἅψασθαι· εἶτα ῥίπτεται ἐπ' ἐδάφους καὶ τοὺς πόδας πρὸς ὕψος ἀναρτᾶται καὶ μαχαίραις ὀξείαις ἀποσύρεται τὸ δέρμα ἀπὸ τῶν ποδῶν μέχρι τῶν ὤμων, θέαμα φοβερὸν καὶ ξένον φαινόμενος ἐν τῷ περιπατεῖν καὶ προσλαλεῖν. Οἰκονομίᾳ δέ τινι θειοτέρᾳ περιτυχὼν ὁ μέγας τοῦ Χριστοῦ μάρτυς χριστιανῷ τινι πρεσβυτέρῳ καὶ βαπτισθεὶς παρ' αὐτοῦ, ἀμύητος γὰρ ἦν ἔτι, ἀνῆλθεν ἀπὸ τοῦ[9] ὕδατος ὅλος ὑγιὴς μὴ ἔχων σπῖλον ἢ ῥυτίδα ἐκ τῶν μωλώπων. Τότε καὶ θείας οὐρανόθεν ἤκουσε φωνῆς λεγούσης· « Μακάριος εἶ, » Γέμελλε, ὡς πολλὰ κοπιάσας. » Καὶ ὡς ταῦτα ἐγνώσθη τῷ βασιλεῖ, σταυρῷ ἀναρτᾶται καὶ ἥλοις τὰς χεῖρας καὶ τοὺς πόδας προσηλοῦται· καὶ οὕτως εὐξάμενος τὸ πνεῦμα τῷ Θεῷ παρέθετο. Τὸ δὲ σῶμα αὐτοῦ πιστοὶ ἄνδρες λάθρᾳ καθελόντες ἀπὸ τοῦ ξύλου κατέθεντο ὑπὸ γῆν. Dec. 10.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Εὐγενίου καὶ Μαρίνου τῶν ἐν Καισαρείᾳ[1].

4. Καὶ τῶν ἁγίων μαρτύρων Θουθαὴλ καὶ Βεβαίας τῆς ἀδελφῆς αὐτοῦ.

5. Καὶ ἡ σύναξις τοῦ ἀρχιστρατήγου Μιχαὴλ ἐν τοῖς Ἄδδα.

— [9] ἁγίου *add.* Sa.

3. — [1] μαρτυρησάντων *add.* Sa.

ἐστῶτα, πλήρης γενόμενος πνεύματος· « Εἴσελθε, καὶ μὴ διακριθῇς » φήσας τῷ ἀδελφῷ, αὐτὸς ἀπερισπάστως τὴν προσκομιδὴν ἐπετέλει. Τῇ παραθέσει δὲ τοῦ πατρὸς ἐκεῖνος ἀναθαρρήσας, ὡς ὑπόπτερος ὑπερβὰς τοῦ θηρός, πρὸς τὸν καλέσαντα εἴσεισι[52]. Καὶ τῆς ἱερᾶς τελεσθείσης μυσταγωγίας, ὁ ἱερεὺς πρὸς τὸν θῆρα, μήπω τὴν στολὴν ὑπαλλάξας, ἀτρέμας ἔξεισι προσειπών· « Εἰ πρὸς τὸ τέλος » ἔχεις τῇ τοῦ Θεοῦ μου προνοίᾳ, ὦ θηρίον, ἐπακολούθει μοι. » Καὶ πρὸς τὸ ἄκρον τοῖς ὀδοῦσι φελονίου ὁ θὴρ[53] ἐπικατασχὼν συρόμενος εἵλκετο· καὶ ὡσεὶ τόξου βολὴν ὁ πατὴρ[54] ἀποδιαστὰς[54] καὶ πρός τινα γενόμενος φάραγγα[55], λόφων ἐξ ἑκατέρου τούτῳ παρακειμένων[56], ἔστη πρὸς προσευχὴν καὶ πρὸς τοῖς ἄλλοις τελευταῖον καὶ τοῦτο[57] προσειπών· « Ὁ ἐπάνω ὄφεων καὶ σκορπίων τοὺς εἰς σὲ » πιστεύοντας πατεῖν εἰρηκώς, εὐδόκησον κἀμὲ τὸν ἐλάχιστον, Κύριε, ἐπὶ τοῦδε τοῦ φάραγγος[58] » ἐπάνω τοῦ θηρὸς γενέσθαι κατὰ τὸ ῥῆμά σου. » Καὶ ὡς τοῦτο εἴρηκεν, ὑψωθὲν τὸ θηρίον κατεσπάσθη ὑπὸ τὸ χάσμα[59] καὶ σὺν[51] αὐτῷ ἑκάτεροι συνέπεσον οἱ βουνοὶ[60] ὡς, τοῦ φάραγγος ἀναγεμισθέντος, πεδιάδα τόπον γενέσθαι[61]. Ὁ γοῦν γέρων, εὐχαριστήσας τῷ Θεῷ, τὸ κελλίον κατέλαβε καὶ τότε[62] ἐξαίσιον τέρας ἐδείκνυτο. Οἱ ὑπὸ τὴν κέλλαν γὰρ ἐμφωλεύοντες ὄφεις καὶ τὸν ἅγιον ἐπὶ τοσούτοις ἔτεσιν ἐπαλγύνοντες[63], ὡς τὸ τούτου δεδοξασμένον εἶδον πρόσωπον[64] οἷα πυρὸς μὴ φέροντες τὴν κατάκαυσιν, ἄρδην ἀποδιδράσκουσιν εἰς τὸν τοῦ χωνευθέντος δράκοντος χῶρον[65]· καὶ προνοίᾳ Θεοῦ πάντες, εἰς[66] πλῆθος ἄπειρον ὄντες, ἀπώλοντο. Πτηνὰ γάρ ποθεν τότε κατὰ τὸν ἀριθμὸν τῶν ὄφεων ὡς ἐξ ἀποστολῆς ἱπτάμενα, τοὺς τεθνεῶτας ὄφεις κατάβρωμα ποιησάμενα, ᾤχοντο. Ἔκτοτε[67] τῶν πειρασμῶν ἀνεθεὶς ὁ πατήρ, χάριν ἰαμάτων ἐκ Θεοῦ καὶ[68] προρρήσεων εἵληφε, καὶ μᾶλλον ταῖς σκληροτέραις ἀγωγαῖς ἑαυτὸν προσηρέθιζε. Ἐπεὶ δὲ τῆς ἡσυχίας ἦρα, ὡς πρὸς αὐτὸν πολλοὺς ἑώρα τοὺς παραβάλλοντας[69], ἐπὶ τὰ ἐρημικώτερα τῶν ὀρέων μεταναστεύειν ᾠήθη. Καὶ τὸν μὲν Ἰωάννην ἡγεῖσθαι τῶν ἀδελφῶν[70] τῆς μονῆς διαταξάμενος, τῷ[71] Πέτρῳ τὴν τοῦ δοθησομένου[72] διορατικοῦ χάριν προδιεσάφησεν. Οὗ γενομένου, ἡ προφητεία τοῦ πατρὸς οὐ διήμαρτεν. Ὅμως εἰς ἓν χωρήσαντες τῶν τούτου προρρήσεων, ὡς ἐκ κρασπέδου τοῖς φιλοπονεῖν[73] αἱρουμένοις τὸ ὅλον δείξωμεν ὕφασμα. Τούτῳ ποτὲ ὁ τῶν Ῥωμαίων εὐσεβέστατος ἄναξ Λέων, ὁ τοῦ Βασιλείου υἱός, τὸ ἐν τῇ καρδίᾳ αὐτοῦ ἀναφυὲν συγγραψάμενος καὶ σφραγίσας, ἐξαπέστειλε τοῦ σκοποῦ τὴν[74] λύσιν ἐπιζητῶν. Ὡς δὲ τὸν τοῦ γραμματείου ἄγγελον πρὸς τῇ φλιᾷ τῆς κέλλης ᾔσθετο γεγονότα, ἔξω τοῦτον προσυπαντήσας, ἕτερον τῇ χειρὶ ἐσφραγισμένον ἔχων πιττάκιον· « Δέξαι τοῦτο, ἀδελφέ, εἶπε, καὶ πρὸς τὸν ἀποστείλαντά » σε ὑπόστρεφε. » Ἐπὶ τούτῳ καταπλαγεὶς ὁ τὸ βασιλικὸν ἐπιφερόμενος γραμματεῖον[75]· « Ἆρά γε, » πάτερ, ἔφη[72] καί τι τῷ ἀποστείλαντι[76] πρὸς τὴν λύσιν τοῦ ζητουμένου ἐρῶ; ἐπεὶ τὸ προκομισθὲν[77] » οὐκ ἀπείληφας. » Καὶ ὁ πατήρ[78]· « Τῷ Θεῷ περὶ τούτου μελήσει. » Τότε λαβὼν τὸ πιττάκιον τοῦ πατρὸς, πρὸς τὸν ἀποστείλαντα ἐπανέρχεται[79]. Καὶ δῆλα ποιήσας τὰ ἐπακολουθήσαντα τῷ κρατοῦντι ἐξέπληξεν αὐτόν. Ὅτε δὲ καὶ τὴν τῆς γραφῆς γεγενημένην ἔκβασιν τῆς τοῦ γέροντος προφητείας ὁ κρατῶν ἐθεάσατο, πάσῃ μηχανῇ ἐχρήσατο θεάσασθαι αὐτόν. Ὁ δὲ ἀφιλόκοσμος καὶ ταπεινόνους ὤν, ἀντιμηχανευσάμενος εὐφυῶς, οὐ συνεχώρησε τοῦτο γενέσθαι. Ἀλλὰ ταῦτα μὲν ὀλίγα καὶ ἐκ τῶν τούτου μαθητῶν καὶ[72] ἐν ἐσχάτοις καιροῖς· ἀλλ'[80] ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν. Ὁ ἡγιασμένος οὖν Θωμᾶς ἐπεὶ καλῶς τὰ τῆς ποίμνης διέθετο, τῶν ἐκεῖσε[81] ἀπάρας, δύσβατον καὶ ἀδιόδευτον χῶρον καταλαβών, ὡς στρουθίον μονώτατον ἐν αὐτῷ εἰσοικίζεται, ἀπρόϊτος διελθὼν τῶν νηστειῶν τὴν περίοδον. Εἰ δέ τι ψυχῆς φέρον ἀδελφῶν ἐπισυνέβη τὸν κίνδυνον[82], διὰ μακροῦ τοῦ χρόνου τούτους ἐπισκεπτόμενος, τὰ πρὸς σωτηρίαν ἀνεδίδου· καὶ πάλιν ὡς[83] ἀναψυχὴν εἰς τὸν δύσβατον χῶρον ἀνέτρεχεν. Οὕτως ἐπὶ πλείστους χρόνους διαρκέσας καὶ ἐν γήρᾳ πίονι γεγονώς, μικρὸν τὸ σῶμα τρυχωθείς, εἰς χεῖρας Θεοῦ τὴν ψυχὴν ἐναπέθετο. — 3 (Εὐγενείου καὶ Μαριανοῦ). — 4. 5. — **Mr** : 1.

— [52] εἴσεισι π. τ. κ. Mv. — [53] ἀπαλλάζας ... ὁ θὴρ τοῦ φενολίου Mv. — [54] ἀποστὰς Mv. — [55] φάλαγγα Mv. — [56] ἑκατέρων ταύτῃ κειμένων Mv. — [57] κ. τ. τελευταῖον Mv. — [58] φάρυγγος Mb. — [59] ὑπό τὸ χάσμα κ. Mv. — [60] οἱ βουνοὶ ἔπεσον Mv. — [61] γενέσθαι τὸν τόπον Mv. — [62] γὰρ *add.* Mv. — [63] ἐπαλγείαντες Mv. — [64] ὡς τούτου ... τὸ πρόσωπον Mv. — [65] τόπον Mv. — [66] Θεοῦ προνοίᾳ εἰς Mv. — [67] γοῦν *add.* Mv. — [68] χάριν ἐκ Θεοῦ Mv. — [69] εἰσβάλλοντας Mv. — [70] τῶν ἀδελφῶν *om.* Mv. — [71] δὲ *add.* Mb. — [72] *om.* Mv. — [73] βουλομένοις καὶ *add.* Mv. — [74] τὴν τοῦ σκοποῦ Mv. — [75] γράμμα Mv. — [76] ἔφη *add.* Mv. — [77] προσκομισθὲν Mv. — [78] ἀρκεῖ τέκνον ἀρκεῖ *add.* Mv. — [79] ἔρχεται Mv. — [80] ἐμάθομεν ἡμεῖς δὲ Mv. — [81] ἐκεῖθεν Mv. — [82] (τι - κίνδυνον) τινι τῶν ἀδελφῶν περὶ ψυχήν ποτε συνέβη κινδύνῳ περιπεσεῖν Mv. — [83] εἰς *add.* Mv.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΑ'.

Dec. 11.

1. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Δανιὴλ τοῦ στυλίτου, τοῦ ἐν τῷ Ἀνάπλῳ. Οὗτος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Λέοντος τοῦ μεγάλου, ἐγένετο δὲ ἀπὸ τῆς Μεσοποταμίας τῆς Συρίας. Πενταετὴς δὲ γενόμενος, ἀπῆλθεν ἐν μοναστηρίῳ καὶ ἐγένετο μοναχός· καὶ μετὰ τοῦτο παρεγένετο καὶ πρὸς τὸν μέγαν Συμεὼν τὸν στυλίτην καὶ [1] εὐλογήθη [2] παρ' ἐκείνου. Ἐκ θείας δὲ ἀποκαλύψεως ἦλθεν ἐν τῷ Ἀνάπλῳ καὶ ἀπέκλεισεν ἑαυτὸν ἐν ναῷ τῶν εἰδώλων [3], πολλοὺς πειρασμοὺς [4] ὑπομείνας ὑπὸ τῶν δαιμόνων. Καὶ μετὰ τοῦτο ἀνῆλθεν εἰς κίονα καὶ ἐγένετο στυλίτης καὶ οὔτε ψῦχος οὔτε καῦμα οὔτε ἄνεμος ἐνίκησεν αὐτοῦ τὴν καρτερίαν. Ἐποίησεν οὖν πολλὰ θαύματα καὶ προεῖπε καὶ ἐμπρησμοὺς τῆς πόλεως καὶ μεταλλαγὰς βασιλέων· ἠγαπήθη δὲ παρὰ πάντων, καὶ τοσοῦτον ἐγένετο θαυμαστός, ὡς καὶ τὸν βασιλέα Λέοντα πρὸς αὐτὸν ἀπέρχεσθαι χάριν εὐχῆς. Καὶ οὕτω βιώσας, ἐν εἰρήνῃ [5] πρὸς Κύριον ἐξεδήμησεν.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀειθαλᾶ καὶ Ἀψεῆ. Οὗτοι ὑπῆρχον ἐκ Περσίδος· | ἦν δὲ ὁ μὲν [1] Ἀειθαλᾶς ἱερεὺς τῶν εἰδώλων, f. 103.
ἐπέγνω δὲ τὴν εἰς Χριστὸν πίστιν ἐκ τοῦ μόνον ἐνθυμηθῆναι πρὸς τὸν ἐπίσκοπον ἐλθεῖν καὶ τῆς κατεχούσης αὐτὸν νόσου ἀπαλλαγῆναι· ἡ δὲ ἦν [2] ῥύσις αἵματος. Μαθὼν δὲ ἀκριβέστερον [3] παρὰ [4] τοῦ ἐπισκόπου τὴν εἰς Χριστὸν πίστιν καὶ πρὸς τὴν ἰδίαν πόλιν ἐπιστρέωας, ἥτις λέγεται Ἀρβήλ [5], τοῦ γενέσθαι καὶ ἑτέροις εὐσεβείας διδάσκαλος, διαβληθεὶς παρέστη τῷ ἄρχοντι· κἀκεῖνος μαθὼν τὰ κατ' αὐτόν, τὸ ὠτίον αὐτοῦ ἀποκόψας εἰς φυλακὴν ἐνέκλεισεν. Ὁ δὲ ἅγιος Ἀψεὴς ὑπῆρχε διάκονος· καὶ συσχεθεὶς καὶ τὸν Χριστὸν ὁμολογήσας, τύπτεται ἀφειδῶς καὶ παραπέμπεται τῷ ἀρχιμάγῳ

1. — [1] *om.* Sa. — [2] εὐλογηθεὶς Sa. — [3] ἐν τινι ναῷ εἰδωλικῷ Sa. — [4] ἐν αὐτῷ *add.* Sa. — [5] ἐν εἰρήνῃ *om.* Sa.
2. — [1] *supra lin.* Sa. — [2] ἣν δὲ Sa. — [3] *om.* Sa. — [4] *supra lin.* Sa. — [5] Ἀρβὴρ Sa.

Dec. 11.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. 6. add. : Τελεῖται δὲ ἡ αὐτοῦ μνήμη ἐν τῇ μονῇ τοῦ ὁσίου Βασιανοῦ τῇ οὔσῃ πλησίον τοῦ Δευτέρου, ἔνθα καὶ τὸ ἅγιον αὐτοῦ σῶμα ἀπόκειται. — **Sb** : 1. 6. 2. — **H** : 2. 3 (... Αἰμιλιανοῦ καὶ Βεβαίας). — 4 (Πέτρου ἀσκητοῦ καὶ Ἀκεψιμᾶ τῶν ἐν Περσίδι τελειωθέντων). — 5. 1. — **P** : 2. 1. 3 (om. Τερεντίου). — 4 : τῶν ἁγίων μαρτύρων Πέτρου ἀσκητοῦ γενομένου καὶ Ἀκεψυμᾶ τῶν ἐν Περσίδι μαρτυρησάντων. — **Da** : 1 (= F). 6. 2. — **Db** : 1. 6. 2. — **F** : 1 : Δανιὴλ τοῦ στυλίτου τοῦ ἐν τῷ Ἀνάπλῳ. Οὗτος γέγονεν ἐπὶ Λέοντος τοῦ μεγάλου βασιλέως, τοῦ Βέσσου ἀπὸ Μεσοποταμίας τῆς Συρίας ὁρμώμενος ἐξ ἐνορίας Σαμοσάτων ἐκ κώμης Μηθαρᾶ κτλ. — 6. 2 (... Ἀκεψέει). — Εὐγενίου καὶ Μαρίνου (Dec. 10^3). — 3. — Θουθαὴλ καὶ Βεβαίας (Dec. 10^4). — 4. — **Fa** : 1. 6 (= Ba). 2. — Εὐγενίου καὶ Μαρίνου. — 3. — Θουθαὴλ καὶ Βεβαίας. — 4. — **B** : 2. 1. — **Ba** : 1 (= F). 6 : Λουκᾶ τοῦ νέου στυλίτου. Ὃς ὑπῆρχεν ἐν τοῖς χρόνοις Ῥωμανοῦ τοῦ γέροντος καὶ Κωνσταντίνου τοῦ Πορφυρογεννήτου. Οὗτος ὁ μακάριος ὥρμητο ἐκ γῆς ἀνατολῶν [1], θέματος τῶν Ἀνατολικῶν, χωρίου Ἀττικὼμ Βανδουλάμπης [2], γέννημα ὑπάρχων Χριστοφόρου καὶ Καλῆς θαυμαστῶν καὶ σεπτῶν γεννητόρων, ἐν αὐταρκείᾳ βιούντων, γεωργικῇ ἐπιστήμῃ σχολαζόντων καὶ στρατιωτικῇ κουστωδίᾳ κατειλεγμένων. Ὅτε οὖν ὁ Βουλγαρικὸς πόλεμος ἐκινήθη, εἴλκεται καὶ οὗτος τῇ τῶν κρατούντων προστάξει, χρόνων ιη' ὑπάρχων [3]· βίᾳ δὲ τοῦ πολέμου περισωθείς, πάντων καταπεσόντων, τὸν μονήρη βίον ὑπέδυ, δερμάτινον χιτῶνα περιβαλλόμενος, ὑποπιάζων τὸ ἑαυτοῦ σῶμα χρόνοις ἕξ. Μετὰ δὲ τὸν εἰκοστὸν <τέταρτον [4]> χρόνον τῆς αὐτοῦ ἡλικίας χειροτονεῖται πρεσβύτερος, κακουχίᾳ [5] πολλῇ ἑαυτὸν δαμάζων καὶ τῇ τῶν σιδήρων βαρύτητι, μηδὲν ἕτερον ἐσθίων ἢ μόνον τῆς προσκομιζομένης προσφορᾶς μετὰ λαχάνων ὠμῶν, καὶ ταῦτα κατὰ ἓξ ἡμέρας. Πρὸς τούτοις στύλον δομησάμενος ὡσεὶ πηχῶν δώδεκα τὸ ὕψος ἔχοντα, τρισὶν ἐπὶ χρόνοις διήρκεσεν ἑστὼς ἐπ' αὐτοῦ. Θείας τε φωνῆς τρίτον ἀκούσας « ἔξελθε » λεγούσης [6], « ὡς ὁ Ἀβραάμ, τοῦ πατρικοῦ οἴκου, » τῆς ἐνεγκαμένης [7] ἀπάρας μετέβη πρὸς τὸ Ὀλύμπιον ὄρος· καὶ λίθον ὡς οἷα κημόν τινα ἐκούσιον ἐμβαλὼν τῷ στόματι, οὕτω διῆγεν. Ἐντεῦθεν πρὸς τὴν βασιλίδα τῶν πόλεων παρὰ Θεοῦ πέμπεται ἐκ θείας ἀποκαλύψεως καὶ πάντα ναὸν ἅγιον περινοστησάμενος καὶ πίστει τῷ Θεῷ τὰς εὐχὰς ἀποδοὺς ἐπὶ τῇ τῶν Χαλκηδονέων πόλει διέβη· καὶ τῷ προεστῶτι τῆς ἐκκλησίας ἐντυχὼν Μιχαὴλ τοὔνομα καὶ σύμβουλον τοῦτον λαβὼν καὶ κλίμακι χρησάμενος, ἀνῆλθεν ἐπὶ τὸν κίονα. Ὁπόσα δὲ πειρατήρια καὶ φόβητρα ὑπέμεινεν ὁ ἀδάμας ἐκεῖνος τῷ καύσωνι συγκαιόμενος καὶ τῷ παγετῷ τῆς νυκτὸς συμπηγνύμενος, κρυμοῖς τε καὶ ὄμβροις καὶ νιφετοῖς ταλαιπωρούμενος, οὐ δυνατόν ἐστι λέγειν ἢ γράφειν. Τὰ δὲ ὑπ' αὐτοῦ γενόμενα θαύματα ὑπερβαίνει καὶ νοῦν καὶ διάνοιαν. Ὅσα ἐκεῖνος τῇ τοῦ Χριστοῦ ὑπέμεινε χάριτι, εὐχῇ μόνῃ ἐξεπλήρωσεν· ἐξ ὧν καὶ ὁ τῆς ἐκδημίας [8] αὐτοῦ καιρὸς δι' ἀποκαλύψεως ἐγνωρίσθη. Περιστερὰ γὰρ καταπτᾶσα καὶ τὴν κατάπαυσιν τῶν πολλῶν αὐτοῦ πόνων προμηνύσασα, πάλιν τῶν ὑψηλῶν λαβομένη τὴν ἐκδημίαν τοῦ δικαίου προεμήνυσεν· ὅτε καὶ τῶν ἀμέτρων κόπων καὶ ἱδρώτων ἀνεθείς, πρὸς τὸν ἀκύμαντον μετέστη λιμένα, χρόνους με' πληρώσας ἐν τῷ κίονι. — 2 (= S). — **Bb** : 2. 6. 1. — **T** : 1. — **L** : 1. — **Q** : 1. — Σώζοντος. — **C** : 2. 3 (Τερεντίνου, Αἰμιλιανοῦ καὶ Βαβίας). — 4 : Πέτρου ἀσκητοῦ καὶ Ἀκεψιμᾶ τῶν ἐν Περσίδι τελειωθέντων. — 5. 1. 6 (Λουκᾶ τοῦ στυλίτου τοῦ Εὐτροπιώτου). — **Cb** : 2 (Ἀειθαλᾶ καὶ Σεβή [dein Σευῆ] Ἀψεῖς). — 1. — **Cc** : 2. 3 (... καὶ Βαβίας). — 4 (... καὶ

[1] ἀνατολῆς Bd. — [2] Ba, Ἀττηκομένου Βάνδου λάμπης Fa. — [3] ὑπάρχοντα Ba. — [4] *om.* Ba. — [5] κακουκία Ba. — [6] λέγων Ba. — [7] *correxi ex* Fa, ὃς Ba. — [8] ἐκδίμου Ba.

μετὰ τοῦ ἁγίου Ἀειθαλᾶ. Ὁ δὲ εἰσάγει αὐτοὺς πρὸς τὸν βασιλέα, οὗ κατενώπιον τὸν Χριστὸν κηρύξαντες τὰς κεφαλὰς ἀπετμήθησαν.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Τερεντίου, Βικεντίου, Αἰμιλιανοῦ <καὶ τῆς συνοδίας αὐτῶν [1]>, τῆς συνάξεως αὐτῶν γινομένης [2] ἐν τῷ Καστελλίῳ.

4. Καὶ μνήμη τοῦ ὁσίου Πέτρου γενομένου ἀσκητοῦ.

5. Καὶ τοῦ ἁγίου μάρτυρος [1] Στεφάνου ἐν Κωνσταντιναναῖς.

6. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Λουκᾶ τοῦ νέου στυλίτου, τοῦ ἐν τῷ Εὐτροπίου μοναστηρίῳ. Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Ῥωμανοῦ τοῦ γέροντος καὶ Κωνσταντίνου γαμβροῦ αὐτοῦ τοῦ Πορφυρογεννήτου καὶ τρίτου [1] υἱοῦ Λέοντος τοῦ σοφωτάτου, πατριαρχοῦντος Θεοφυλάκτου γνησίου υἱοῦ αὐτοῦ τοῦ [2] βασιλέως Ῥωμανοῦ, ἐκ τῆς ἀνατολῶν ὁρμώμενος, υἱὸς Χριστοφόρου καὶ Καλῆς. Ὅτε οὖν ὁ Βουλγαρικὸς πόλεμος ἐκινήθη, τότε καὶ τοῦτον εἰς τὴν ἐκστρατείαν εἵλκεν ἡ τῶν κρατούντων πρόσταξις. Συρραγέντος δὲ τοῦ ἀνυποστάτου ἐκείνου πολέμου καὶ πολλῶν μυριάδων καταπεσουσῶν, αὐτὸς βίᾳ περισωθεὶς τὸν μονήρη βίον ὑπέρχεται. Καὶ προκόψας ἐν τῇ ἀσκήσει, χειροτονεῖται πρεσβύτερος· καὶ σίδηρα περιβάλλεται, κατατρύχων αὐτοῦ τὸ σωμάτιον [3]· καὶ ἑξαημέρῳ νηστείᾳ σχολάζει, μηδὲν ἕτερον παρὲξ τῆς προσκομιζομένης [4] παρ' αὐτοῦ προσφορᾶς καὶ λαχάνων ὠμῶν ἐσθίων· καὶ ἐπὶ στύλου ἀναβὰς καὶ τρεῖς ἐν αὐτῷ διαρκέσας χρόνους, θείας αὐτήκοος φωνῆς γεγονὼς καὶ τῷ καλέσαντι ἑπόμενος, καταλαμβάνει τὸν Ὄλυμπον, λίθον ὡς οἷά τινα κημὸν ἑκούσιον ἐμβαλὼν τῷ στόματι·

3. — [1] Sa, *om.* S. — [2] (τῆς - γινομένης) τελεῖται δὲ ἡ αὐτῶν σύναξις Sa.
5. — [1] πρωτομάρτυρος Sa.
6. — [1] (γαμβροῦ - τρίτου) τοῦ πορφυρογεννήτου καὶ γαμβροῦ αὐτοῦ Sa. — [2] τε αὐτοῦ *add.* Sa. — [3] σῶμα Sa. — [4] προκομιζομένης Sa.

Dec. 11.

Ἀκεψιμᾶ). — 5. 1. 6. — **Cd** : 2. 3. 4 (Πέτρου ... Ἀκεψιμᾶ). — 1. 6. — **M** : 1. 6. 2 (Ἀκεψεῆ ...). — Μνήμη μείρακός τινος, διήγησις δὲ πάνυ ὠφέλιμος. Οὗτος ὁ ἅγιος μάρτυς τοῦ Χριστοῦ μείραξ ἦν μὲν Αἰγύπτιος τὸ γένος· γεννηθεὶς γὰρ ἐν τῷ Κάστρῳ Τενεστῇ παρὰ χριστιανῶν γονέων καὶ βαπτισθεὶς καὶ ἀνατραφεὶς ἐπαιδεύετο ἐν τῇ ἀμωμήτῳ πίστει τῶν χριστιανῶν. Κουφότητι δὲ γνώμης ὑπὸ τοῦ ἐχθροῦ σκελισθείς, ἀπελθὼν πρὸς τὸν ἐκεῖσε ἀμηρᾶν ἠρνήσατο τὸν Χριστὸν. Καὶ κόψας τὴν ζώνην καὶ τὸν σταυρὸν πατήσας καὶ τὴν μάχαιραν σπασάμενος, ἠλάλαξε τὴν ἐλεεινὴν ἐκείνην φωνὴν τό· « Ἀγαρηνός » εἰμι καὶ οὐκ ἔτι χριστιανὸς ἀπὸ τῆς σήμερον. » Καὶ ἦν τιμώμενος καὶ δοξαζόμενος ἐπὶ χρόνους τινὰς παρά τε τοῦ ἀμηρᾶ καὶ τῶν σὺν αὐτῷ, μηδόλως φροντίζων περὶ τῆς ἰδίας σωτηρίας. Οἱ δὲ τούτου γεννήτορες οὐκ ἐπαύοντο ἀεὶ τὸν Θεὸν ἐξιλεούμενοι, πρὸς τὸ μεταβληθῆναι αὐτόν. Καὶ ἰδὼν ὁ Θεὸς τὴν τούτων πρόθεσιν καὶ ἐπίμονον δέησιν, μετέβαλε τὴν τοῦ μείρακος καρδίαν πρὸς ἐπιστροφήν. Καὶ ἐλθὼν πρὸς τοὺς γονεῖς αὐτοῦ, λέγει· « Ἰδού, κύριοί μου καὶ γλυκύτατοι γεννήτορες, σκοτισθεὶς τὸν νοῦν, » ἐποίησα ὅσα ἐποίησα· καὶ νῦν παρακαλῶ γενέσθαι πάλιν χριστιανὸς καὶ εἶναι μεθ' ὑμῶν. » Οἱ δὲ λέγουσιν αὐτῷ· « Ἡμεῖς, τέκνον, ὅτι ὅλως τοῦτο πεποίηκας, πολλὰ δάκρυα ὑπὲρ σοῦ ἐξεχέαμεν, καὶ » οὐδέποτε ἐπαυσάμεθα τὸν Θεὸν δυσωποῦντες, ὅπως ἐπιγνῷς τὴν ἀλήθειαν καὶ ἐπιστρέψῃς πρὸς » Χριστόν. Καὶ νῦν εὐχαριστοῦμεν τῇ αὐτοῦ ἀγαθότητι, ὅτι οὐ παρεῖδε τὴν μικρὰν ἡμῶν δέησιν. Πλὴν » καθὼς γινώσκεις καὶ αὐτός, τέκνον, φοβούμεθα τὸν ἀμηρᾶν, μήποτε κινδυνεύσωμεν ὑπὲρ τούτου, ὡς » μεταβαλλόμενοί σε. Ἀλλ' εἰ θέλεις καὶ τοῦ μεγάλου πταίσματος κουφισθῆναι καὶ τὸν Θεὸν ἵλεων » εὑρεῖν καὶ ἡμᾶς ἀνεγκλήτους ποιῆσαι καὶ ὑπὲρ παντὸς τοῦ γένους σου πρεσβευτὴς γενέσθαι, ἄπελθε » πρὸς τὸν ἀμηρᾶν· καὶὡς ἐποίησας κρυφίως ὃ ἐποίησας, οὕτως πάλιν ποίησον, ὡς ἀγνοούντων ἡμῶν, » καὶ ὁ Θεὸς εὐοδώσει πάντως τὰ κατὰ σέ, τέκνον, ὡς βούλεται. » Ὁ δὲ λαβὼν τὴν τοῦ πατρὸς αὐτοῦ καὶ μητρὸς συμβουλὴν ὁμοῦ καὶ εὐχὴν καὶ ἐν τῇ χειρὶ αὐτοῦ ζώνην, ἔδραμε πρὸς τὴν σύναξιν τῶν Ἀγαρηνῶν. Καὶ περιζωσάμενος ἐνώπιον τοῦ ἀμηρᾶ καὶ ἁπάσης τῆς συναγωγῆς, χαράξας τε τὸν τίμιον σταυρὸν ἐν ἑνὶ ξύλῳ, ἠσπάσατο αὐτὸν καὶ ἤρξατο κράζειν μεθ' ὅσης δυνάμεως εἶχε τὸ « Κύριε ἐλέησον. » Καὶ κρατήσας αὐτὸν ὁ ἀμηρᾶς λέγει· « Τί σοι γέγονεν; » Ὁ δὲ μεῖραξ ἀπεκρίνατο· « Ἐλθὼν εἰς ἑαυτὸν » ἀπὸ τῆς συμβάσης μοι διαβολικῆς σκοτώσεως, προσέπεσα τῷ Χριστῷ· καὶ γενόμενος χριστιανὸς » καθὼς ἤμην, ἦλθον ἀναγγεῖλαί σοί τε καὶ πάσῃ τῇ συναγωγῇ, καὶ ἐνώπιον πάντων τὸν Χριστόν μου » ὁμολογῆσαι, ὑμᾶς δὲ καὶ τὴν θρησκείαν ὑμῶν ἀναθεματίσαι. » Τούτων ἀκούσας ὁ ἀμηρᾶς ἔβαλεν αὐτὸν ἐν φυλακῇ ἐπὶ τρισὶν ἡμέραις ἄνευ τῆς οἱασοῦν βρώσεως καὶ πόσεως· καὶ ἐξαγαγὼν ἐπανέκρινεν αὐτόν. Καὶ εὑρὼν αὐτὸν ὁμολογοῦντα τὸν Χριστόν, ἔτυψεν αὐτὸν μετρίως καὶ πάλιν τῇ φυλακῇ ἐναπέθετο. Καὶ μεθ' ἑτέρας τρεῖς ἡμέρας παραστήσας αὐτὸν ἔτυψε σφοδρῶς· καὶ ἐπιμένοντα τῇ ὁμολογίᾳ καθεῖρξε. Καὶ μεθ' ἑτέρας τρεῖς ἡμέρας, πάλιν ἐπανακρίνας αὐτὸν καὶ εὑρὼν ἐπιμένοντα καὶ ὁμολογοῦντα τὸν Χριστόν, βουνεύροις αὐτὸν ἔτυψε ἄνωθεν τῶν φλεγμαινουσῶν πληγῶν· καὶ δοὺς ἀπόφασιν κατ' αὐτοῦ, ἔλαβον οἱ προστεταγμένοι καὶ ἐμβάντες εἰς πλοῖον ἀπέπλευσαν ὡσεὶ σταδίους τέσσαρας. Καὶ μετὰ τὸ προσεύξασθαι αὐτὸν ἀπέτεμον τὴν κεφαλὴν αὐτοῦ, ῥίψαντες ἐν τῇ θαλάσσῃ. Καὶ τὸ μὲν σῶμα εἴτε ἐξῆλθεν ἀπὸ τῆς θαλάσσης, εἴτε μή, οὐ διεγνώσθη· ἡ δὲ τιμία αὐτοῦ κεφαλὴ ἐξῆλθε. Καὶ ἀναγνωρίσαντες ταύτην χριστιανοί τινες, ἔλαβον ὡς πολύτιμον δῶρον καὶ διαβληθέντες πρὸς τὸν ἀμηρᾶν, δέδωκαν αὐτῷ χρυσίνους ἑκατὸν καὶ οὕτως εἴασεν αὐτοὺς κατέχειν αὐτὴν ἀκωλύτως. Τότε ἀργυρέαν θήκην κατασκευάσαντες κατέθεντο αὐτὴν ἐν ταύτῃ μετὰ τῆς προσηκούσης τιμῆς καὶ δορυφορίας. Ἔκτοτε δὲ καὶ μέχρι τοῦ νῦν ἀναβλύζει ἀεὶ εὐῶδες μύρον, παντοδαπὰς ἰάσεις ἐπιτελοῦσα, εἰς δόξαν μὲν

Dec. 11. καὶ ἐν τῇ βασιλίδι τῶν πόλεων ἔρχεται, κἀκεῖθεν ἐπὶ τὴν Χαλκηδόνα διαβαίνει, ἐν ᾗ κίονι
f. 103v. προσεπιβὰς μυρίων θαυμάτων αὐτουργὸς γέγονεν, τεσσαράκοντα[5] πέντε χρόνους πληρώσας ἐν τῷ κίονι· καὶ[6] καλῶς[7] ἀγωνισάμενος πρὸς Κύριον ἐξεδήμησε[8].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΒ'.

Dec. 12. 1. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Σπυρίδωνος ἐπισκόπου Τριμιθοῦντος τῆς Κύπρου. Οὗτος γέγονεν ἐπὶ[1] Κωνσταντίνου τοῦ μεγάλου βασιλέως[2], τὸν τρόπον ἁπλοῦς, τὴν καρδίαν ταπεινός· ἐποίμαινε δὲ πρόβατα· καὶ γυναῖκα λαβὼν καὶ θυγατέρα γεννήσας, ἐπεὶ ἐκείνη ἀπέθανεν, ἐγένετο ἐπίσκοπος· γέγονε δὲ καὶ θαυματουργός. Καὶ γὰρ ἐν ἀβροχίᾳ προσηύξατο καὶ ἔβρεξεν, καὶ ἀπὸ λιμοῦ εὐθηνίαν ἐποίησεν, καὶ ὄφιν μετέβαλεν εἰς χρυσοῦν καὶ πάλιν τὸν χρυσὸν μετὰ τὸ[3] δοθῆναι[4] ἐνέχυρον καὶ δανείσασθαι τὸν πτωχὸν καὶ ζῆσαι, μετεποίησεν εἰς ὄφιν καὶ ἀπέλυσεν· καὶ ποταμὸν[5] τρέχοντα ἔστησεν. Ἦλθε δὲ καὶ εἰς τὴν ἐν Νικαίᾳ[6] σύνοδον καὶ κατήσχυνε τοὺς αἱρετικούς. Γυνὴ δέ τις ἔδωκε τῇ θυγατρὶ αὐτοῦ[7] παρακαταθήκην· εἶτα ἀπέθανεν ἡ θυγάτηρ αὐτοῦ[7]. Καὶ μὴ εὑρισκομένης τῆς παρακαταθήκης, ἠρώτησεν ὁ γέρων τὴν νεκράν· καὶ ἀποκριθεῖσα εἶπεν· « Ἐν τῷδε τῷ τόπῳ. » Καὶ ἕτερα πολλὰ ποιήσας ἐν εἰρήνῃ ἐτελειώθη. Τελεῖται δὲ[8] ἡ αὐτοῦ σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ ἁγίου καὶ κορυφαίου ἀποστόλου Πέτρου, τῷ συγκειμένῳ τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Συνετοῦ. Οὗτος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Αὐρηλιανοῦ ἐνδημοῦντος τότε ἐν τῇ Ῥωμαίων πόλει καὶ τὰς θυσίας τοῖς εἰδώλοις προσνέμοντος[1], ἀναγνώστης <ἐν[2]> τῇ τῶν Ῥωμαίων ἐκκλησίᾳ <ἐπὶ[3]> τοῦ ἐν ἁγίοις Ξύστου[4]. Οὗτος ὁ ἅγιος τοῦ Χριστοῦ μάρτυς διαλεχθεὶς τῷ βασιλεῖ καὶ ὑποσχόμενος θῦσαι κατ' ἐμπαιγμὸν καὶ φωραθεὶς τὴν ὑπόκρισιν, τύπτεται βουνεύροις ὠμοῖς, ὥστε πᾶσαν τὴν γῆν τῷ αἵματι φοινιχθῆναι· εἶτα τῇ εἱρκτῇ ἐναπορρίπτεται, τῇ δὲ ἑξῆς πάλιν ἐμβάλλεται ἐν ἐσχάρᾳ σιδηρᾷ πεπυρακτωμένῃ· ὅτε καὶ θείας φωνῆς ἤκουσεν ἐνισχυούσης καὶ προτρεπούσης αὐτὸν εἰς τὸν ἀγῶνα· καὶ σὺν τῇ φωνῇ κατερράγη λάβρος ὑετὸς τὸν μάρτυρα ἀλώβητον ἐκ τοῦ πυρὸς διαφυλάττων. Μετὰ ταῦτα ὀρύγματος γενομένου πήχεων δέκα καὶ ξύλων ὀξυτάτων ἐντεθέντων τῷ βάθει, ἐκεῖσε ὁ μάρτυς ἀπερρίφη, τῶν μελῶν[5] αὐτοῦ σχεδὸν[6] | ἁπάντων κατακοπέντων καὶ συντριβέντων, εἰ καὶ θείᾳ προνοίᾳ αὖθις ὑγιάσθη[7]. f. 104.
Πάλιν οὖν ἐγκλείεται εἰς τὸ λεγόμενον Πάνθεον ἡμέρας δώδεκα, ὡς δῆθεν τοῖς θεοῖς ἐπιθύσων καὶ θεραπείας προσάξων. Αὐτὸς δὲ θείῳ ζήλῳ ῥωσθεὶς καὶ τὴν ἐξ ὕψους ἐνδυσάμενος δύναμιν, πᾶν·εἴδωλον ἀποσπάσας ἐκ τῶν βωμῶν ἐν μιᾷ τοῦ ναοῦ γωνίᾳ συνθλάσας ἐναπέρριψε[8]· τὸν δὲ χρυσότευκτον θεὸν Δία εἰς λεπτὰ τμήματα κατατεμών, ἀγγελικῇ δυνάμει τῶν πυλῶν τοῦ ναοῦ διανοιχθεισῶν[9], ἐξελθὼν χήραις καὶ ὀρφανοῖς διέδωκε. Καὶ τῶν ἡμερῶν τῆς προθεσμίας πληρωθεισῶν, ὁ βασιλεὺς ἅμα τῇ συγκλήτῳ παραγενόμενος καὶ[10] τῶν τῆς φυλακῆς θυρῶν ἀσαλεύτων εὑρισκομένων, εἰσελθὼν ἔνδον εἶδεν ἅπερ εἶδεν καὶ

— [5] καὶ *add.* Sa. — [6] *om.* Sa. — [7] οὖν *add.* Sa. — [8] τελεῖται δὲ κτλ. *add.* Sa, *inter* Synaxaria selecta.
1. — [1] ἐπὶ τῆς βασιλείας τοῦ μεγάλου *add.* Sa. — [2] τοῦ μεγάλου βασιλέως *om.* Sa. — [3] *supra lin.* Sa. — [4] εἰς *add.* Sa. — [5] δὲ *add.* Sa. — [6] δευτέραν *add.* Sa. — [7] αὐτῆς Sa. — [8] *lege quae habet* Sa *inter* Synaxaria selecta.
2. — [1] προσμένοντος Sa. — [2] *supplevi, om.* S, Sa. — [3] Sa, *om.* S. — [4] πάπα Ῥώμης *add.* Sa. — [5] μελλῶν S. — [6] σχεδὸν αὐτοῦ Sa. — [7] ὑγιώθη Sa. — [8] ἀπέρριψε Sa. — [9] διανυχθεισῶν S, διαναχθεισῶν Sa. — [10] *om.* Sa.

Dec. 11. τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς πληροφορίαν δὲ βεβαίαν τῶν σκανδαλισθέντων καὶ δισταζόντων ὑπὲρ αὐτοῦ. — **Mv** : 1. 6. 2. — Μνήμη μείρακός τινος. — Τοῦ ἁγίου μάρτυρος Βαρσαβᾶ. — 3 (... καὶ Βεβαίας). — **Mb** : 1. 2 (Ἀκεψιμᾶ καὶ Ἀειθαλᾶ). — 6. — Μνήμη μείρακος. — 3 (... καὶ Βεβαίας). — 4 (Ἀκεψιμᾶ τῶν ἐν Περσίδι τελειωθέντων). — 5. — **Mr** : 1.

Dec. 12. SYNAXARIA SELECTA. **Sa** : 1, ita des. : Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ ἁγίου καὶ κορυφαίου ἀποστόλου Πέτρου, τῷ συγκειμένῳ τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ, καὶ ἐν τῇ γυναικείᾳ μονῇ τῇ οὔσῃ πλησίον τῆς μονῆς τοῦ Φιλανθρώπου, ἔνθα καὶ τὸ ἅγιον αὐτοῦ σῶμα κατάκειται. — 2. — **Sb** : 1. 2. — **H** : 1. — Ἀμφιλοχίου ἐπισκόπου Ἰκονίου (Νον. 23[2]). — **P** : 1. — Ἀμφιλοχίου. — **Da** : 1 (= Ba). 2. — **Db** : 1. 2. — **F** : 1 : Σπυρίδωνος τοῦ θαυματουργοῦ ἐπισκόπου Τριμιθούντων τῆς Κύπρου. Οὗτος ἤκμασεν ἐπὶ Κωνσταντίνου τοῦ μεγάλου βασιλέως καὶ Κωνσταντίου υἱοῦ αὐτοῦ· ἦν δὲ τὸν τρόπον ἁπλοῦς καὶ τὴν καρδίαν ταπεινός... Des. : Ὅπως δὲ ἦν συμπαθὴς ἐδήλωσε τὸ συμβὰν εἰς τοὺς τὴν ποίμνην αὐτοῦ λῦσαι ἐπιχειρήσαντας. Οὐ μόνον γὰρ αὐτοὺς ἀορασίᾳ κρατηθέντας τοῦ πάθους ἀπήλλαξεν, ἀλλὰ καὶ κριὸν ἕνα ἐπιδοὺς ἀπέλυσεν εἰπών, ὡς ἂν μὴ ὦσιν μάτην ἠγρυπνηκότες. Οὕτω τὸ καταπιστευθὲν αὐτῷ ποίμνιον ἰθύνας καλῶς, πρὸς τὴν τῶν ἀγγέλων πολιτείαν καὶ διαγωγὴν μετετάξατο. — 2. — **Fa** : 1. 2. — **B** : 1. 2. — **Ba** : 1 (Οὗτος ἦν ἐπὶ Κωνσταντίνου τοῦ μεγάλου βασιλέως καὶ Κωνσταντίου τοῦ υἱοῦ αὐτοῦ... Des. : καὶ διαγωγὴν μετετάξατο). — 2. — **Bb** : 1. 2. — **T** : 1. — **L** : 1. — **Q** : 1. — Αἰθερίου. Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ· διὰ δὲ τὴν εἰς Χριστὸν πίστιν ἄγεται δεσμευθεὶς καὶ μὴ πεισθεὶς θῦσαι σίδηρα πεπυρακτωμένα δέχεται αὐτοῦ τοῖς ὠσίν· ὑφ' ὧν αἱ τῶν ὀφθαλμῶν αὐτοῦ κόραι διατακεῖσαι ἐξέπεσον· εἶτα δεσμοῦσιν ἐπὶ τροχοῦ καὶ κημὸν ὑποβάλλοντες αὐτοῦ τῷ στόματι κρεμῶσιν ἐπὶ κεφαλῆς, λίθον αὐτοῦ τῷ τραχήλῳ προσδήσαντες· λαμπάσι πυρὸς καταφλέγεται. Καὶ τέλος τὸν διὰ ξίφους δέχεται θάνατον. — **C** : 1. — Ἀμφιλοχίου. — 2. — **Cb** :

ἐξέστη. Εὐθὺς οὖν ὁ ἅγιος ἀναρτᾶται ἰκρίῳ γυμνὸς καὶ σιδηροῖς ὄνυξι ξέεται καθ' ὅλου τοῦ σώματος. Εἶθ' οὕτως ὑπὸ τῶν ἀθρεμβόλων ἐξαρθροῦται τὰ μέλη, ῥᾷον ὑποφέρων τὰς ἀλγηδόνας. Τὸ δὲ τελευταῖον τοσαύταις κακώσεσι καὶ τομαῖς βασάνων προσομιλήσας, τὴν διὰ ξίφους δέχεται τιμωρίαν. Dec. 12.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΓ'.

1. Ἄθλησις τῶν ἁγίων μαρτύρων Εὐστρατίου, Αὐξεντίου, Εὐγενίου, Μαρδαρίου καὶ Ὀρέστου. Ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ διωγμὸς ἦν τῶν χριστιανῶν· ὅτε καὶ κρατηθεὶς[1] ὁ ἅγιος Εὐστράτιος παρὰ Λυσίου τοῦ δουκὸς καὶ βασανισθεὶς πλεῖστα καὶ ὑποδήματα σιδηρᾶ μετὰ[2] ἥλων ὀξέων ὑποδεθεὶς περιεπάτει τυπτόμενος. Ὁ δὲ ἅγιος Αὐξέντιος τιμωρηθεὶς ἰσχυρῶς ἀπεκεφαλίσθη· ἡ δὲ κεφαλὴ αὐτοῦ οὐχ εὑρίσκετο· εἶτα εὑρέθη εἰς δένδρον κειμένη, κορώνης ἑστώσης ἐπάνω καὶ κραζούσης. Ἀλλὰ καὶ ὁ ἅγιος Μαρδάριος τιμωρίας μυρίας ὑποστὰς οὐκ ἔλεγεν ἕτερον εἰ μή· « Χριστιανός εἰμι[3], » εἶτα τοὺς ἀστραγάλους διατρυπηθεὶς καὶ κατὰ κεφαλῆς κρεμασθεὶς καὶ τὰ ὀπίσθια μέρη κατακαεὶς ἐτελεύτησεν. Ὁ δὲ ἅγιος Εὐγένιος τὴν γλῶτταν καὶ τὰς δύο χεῖρας ἐκκοπείς, συνθλασθεὶς καὶ τὰ σκέλη ῥάβδοις, ἐξέπνευσεν. Ἀλλὰ καὶ ὁ ἅγιος Ὀρέστης, τοῦ κεκρυμμένου σταυρίου αὐτοῦ, ὅπερ ἐφόρει, ἀναφανέντος, ἐκρατήθη· καὶ τεθεὶς ἐπὶ κραββάτου σιδηροῦ πεπυρακτωμένου πρὸς Κύριον ἐξεδήμησε. Ἐτελειώθη δὲ καὶ ὁ ἅγιος Εὐστράτιος
f. 104v. μετὰ | πολλὰς τιμωρίας ἀπαχθεὶς εἰς κάμινον. Ἡ δὲ σύναξις αὐτῶν[4] τελεῖται ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου Ἰωάννου πλησίον τῆς ἁγιωτάτης[5] μεγάλης ἐκκλησίας. Dec. 13.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας μάρτυρος Λουκίας τῆς παρθένου. Αὕτη ἦν ἐκ Συρακούσης[1] τῆς πόλεως, τῆς κατὰ Σικελίαν, μεμνηστευμένη ἀνδρί· διὰ δὲ τὴν ἐπισκήψασαν[2] νόσον τῇ ταύτης μητρὶ ἅμα αὐτῇ ἐπὶ Κατάνην παρεγένετο, δεηθησομένη τῆς ἁγίας μάρτυρος Ἀγάθης ἀπαλλάξαι τῆς αἱμορροίας τὴν ταύτης μητέραν[3]. Παραγενομένη δὲ ὄναρ εἶδε τὴν ἁγίαν Ἀγάθην τήν τε ἴασιν παρεχομένην[4] τῇ ταύτης μητρὶ καὶ προθεσπίζουσαν αὐτῇ περὶ τοῦ κατὰ Χριστὸν[5] μαρτυρίου. Ὡς δὲ ἡ μήτηρ αὐτῆς γέγονεν ὑγιής, τῶν ὑπαρχόντων αὐτῇ πρὸς τοὺς[6] πένητας ποιήσασα[7] διανομήν, εὔθυμος ἦν πρὸς τὴν[8] Χριστοῦ ὁμολογίαν. Παρὰ δὲ τοῦ μνηστῆρος διαβληθεῖσα, παρέστη τῷ ἄρχοντι Πασχασίῳ, ὃς ἐκέλευσεν αὐτὴν ἐν πορνείῳ ἀπενεχθεῖσαν ὑβρισθῆναι. Διέμεινε δὲ τῇ τοῦ Χριστοῦ χάριτι ἐν ἀγνείᾳ, μὴ δυνηθέντων, καίπερ πολλῶν συνελθόντων, μετακινῆσαι αὐτὴν ἐκ τοῦ τόπου, ἔνθα ἐστήρικτο. Ἀπαγορεύσαντες δὲ τὴν αὐτῆς μετάβασιν καὶ μηδὲ διὰ τῆς πυρᾶς, ἣν ἀνῆψαν, ἔνθα ἡ ἁγία ἵστατο, αὐτὴν καταφλέξαντες, διὰ τὸ ὑπὸ Θεοῦ ταύτην φυλάττεσθαι, ξίφει τὴν αὐτῆς ἀπέτεμον κεφαλήν.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΔ'.

1. Ἄθλησις τῶν ἁγίων μαρτύρων Θύρσου, Λευκίου καὶ Καλλινίκου. Ἐπὶ Δεκίου τοῦ βασιλέως Κουμβρίκιος ὁ ἡγεμὼν διωγμὸν μέγαν ἐκίνησεν κατὰ τῶν χριστιανῶν ἐν τοῖς μέρεσι Νικομηδείας, χύνων[1] τὰ τῶν ἀνθρώπων αἵματα καθ' ἑκάστην ὡς ὕδωρ. Λυπηθεὶς δὲ ὁ Λεύκιος, χριστιανὸς ὑπάρχων καὶ φοβούμενος τὸν Θεόν, ἀπῆλθεν εἰς τὸν ἡγεμόνα λέγων· « Κύων ἀκόρεστε, » ἕως πότε ἐκχέεις τὸ τῶν ἀνθρώπων αἷμα ὥσπερ » ὕδωρ, καταναγκάζων αὐτοὺς προσκυνεῖν λίθους Dec. 14.

1. — [1] κρατηθεὶς καὶ Sa. — [2] καὶ *add.* Sa. — [3] εἰ μὴ S. — [4] Sa, αὐτοῦ S. — [5] *om.* Sa.
2. — [1] Συρρακούσης S. — [2] ἐπισκήψαν Sa. — [3] μητέρα Sa. — [4] παρεχομένη S. — [5] Sa, Χριστοῦ S. — [6] τὰς S. — [7] ποιησαμένη Sa. — [8] τοῦ *add.* Sa.
1. — [1] ἐκχέων Sa.

---

1. 2. — **Cc** : 1. — Ἀμφιλοχίου. — 2. — **Cd** : 1. — Ἀμφιλοχίου. — 2. — **M** : 1. — Ἀλεξάνδρου ἀρχιεπισκόπου Ἱεροσολύμων. — Ἀμμωναθᾶς καὶ Ἄνθος ἐν εἰρήνῃ τ. — **Mv** : 1. 2. — Ἀλεξάνδρου. — Ἀμμωναθᾶ καὶ Ἄνθου. — **Mb** : 1. 2. — Ἀλεξάνδρου. — **Mr** : 1. Dec. 12.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. — **Sb** : 1. 2. — **H** : 1. — Κυριαίνης. — 2. — **P** : 1. 2. — Κυριέννης. — **Da** : 1 (= Ba). 2. — **Db** : 1. 2. — **F** : 1 : Εὐστρατίου, Αὐξεντίου, Μαρδαρίου καὶ Ὀρέστου. Οὗτοι οἱ ἅγιοι τοῦ Χριστοῦ μάρτυρες ὑπῆρχον ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν δυσσεβῶν καὶ Λυσίου δουκὸς κρατοῦντος τῆς τῶν Λιμηταναίων τάξεως, καὶ Ἀγρικολάου πᾶσαν τῆς ἀνατολῆς τὴν ἐπαρχίαν διοικοῦντος... Des. : καὶ ἐκπλήξας τὸν τύραννον, τοῦ ἁγίου Ὀρέστου ἐν κραββάτῳ σιδηρῷ πρότερον τεθέντος καὶ ἐν αὐτῷ τὸ τέλος λαβόντος, ὕστερον αὐτὸς ἀναφθείσης καμίνου καὶ ἐν αὐτῇ εἰσελθών, τὸν τοῦ μαρτυρίου στέφανον ἐκομίσατο. — 2. — **Fa** : 1. 2. — **B** : 1. 2. — **Ba** : 1 (Οὗτοι ὑπῆρχον ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ καὶ Λυσίου δουκὸς κτλ.). — 2. — **Bb** : 1. 2. — **T** : 1. — **L** : 1. — **O** : 1. — **C** : 1. — Τῆς ἁγίας Κυριαίνης. — 2. — **Cb** : 1. — Κυριαίνης. — 2. — **Cc** : 1. — Κυριαίνης. — 2. — **Cd** : 1. 2. — **M** : 1. 2. — **Mv** : 1. 2. — Ἀρσενίου τοῦ ἐν τῷ Λάτρῳ. — Sequitur Κυριακὴ τῶν ἁγίων προπατόρων. — **Mb** : 1. 2. — Κυριαίνης. — **Mr** : 1. 2. Dec. 13.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. — **Sb** : 1. 2. — **H** : 1. 2. 3. — **P** : 1. 2 : Φιλήμονος καὶ Ἀπολλωνίου καὶ τῶν μετ' αὐτῶν πλησίον τῶν Ἑλενιανῶν[1]. — Καὶ τοῦ ἁγίου Ὑπατίου. — 3. — **Da** : 1. 2 (= F). 3. — **Db** : 1. 2. 3. — **F** : 1. 2. 3. — **Fa** : 1 : Θύρσου, Λευκίου καὶ Καλλινίκου. Οὗτοι Dec. 14.

[1] Ἑλλενιανῶν P.

Dec. 14. » καὶ ξύλα ἄψυχα καὶ ἀναίσθητα[2]; » Ὀργισθεὶς δὲ ὁ ἡγεμὼν ἐκρέμασεν αὐτὸν καὶ ἔξεσε τὰς σάρκας αὐτοῦ· εἶτα ἀπεκεφάλισεν αὐτόν. Ὑπήντησε δὲ τῷ ἡγεμόνι καὶ ὁ ἅγιος Θύρσος καὶ ὠνείδισεν αὐτόν, ὡς ἐπιχαίροντα τοῖς αἵμασι τῶν ἀνθρώπων· καὶ ἐκρατήθη καὶ αὐτὸς καὶ ἐδέθη χεῖρας καὶ πόδας καὶ ἐξεκεντήθη τοὺς ὀφθαλμοὺς καὶ συνετρίβη τὰ
f. 105. σκέλη. Ὅτε καὶ παραδόξως | ὑγιασθεὶς[3] ἐπισπᾶται πρὸς τὴν πίστιν τὸν Καλλίνικον, ἱερέα τῶν εἰδώλων ὑπάρχοντα· εἶτα ἐδέθη, ἵνα σχισθῇ μέσον μετὰ τοῦ πρίονος· καὶ πρὸ τοῦ σχισθῆναι καὶ διχοτομηθῆναι παρέθετο[4] τὸ πνεῦμα αὐτοῦ εἰς χεῖρας Θεοῦ ζῶντος. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῶν, τῷ ὄντι πλησίον Ἐλενιανῶν.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Φιλήμονος, Ἀπολλωνίου καὶ τῆς συνοδίας αὐτῶν. Οὗτοι ὑπῆρχον ἀπὸ Θηβῶν τῆς Αἰγύπτου ἐπὶ[1] Διοκλητιανοῦ τοῦ βασιλέως[2] καὶ Ἀρριανοῦ ἡγεμόνος Θηβαΐδος. Ἦσαν δὲ ἅπαντες[3] τριάκοντα[4] ἕξ. Ἐπεὶ δὲ ἐκρατήθησαν, εἷς ἐξ αὐτῶν καλούμενος Ἀπολλώνιος, κληρικὸς ὤν, ἔδωκε νόμισμα[5] τῷ φυλάσσοντι αὐτοὺς Φιλήμονι τῷ κιθαριστῇ καὶ παρεκάλεσεν αὐτὸν φορέσαι τὰ ἱμάτια αὐτοῦ καὶ ἀντὶ τοῦ[6] αὐτοῦ προσκυνῆσαι καὶ θῦσαι τοῖς εἰδώλοις. Ὁ δὲ Φιλήμων οὕτως[7] ποιήσας, ὅτε ἀπῆλθε θῦσαι, ὡμολόγησε τὸν Χριστόν. Καὶ ὁ ἡγεμὼν μὴ γνωρίσας αὐτὸν εἶπε· « Καλέσατε » τὸν καθαριστὴν Φιλήμονα, ἵνα κιθαρίσῃ καὶ τῇ » μελῳδίᾳ πείσῃ τοὺς χριστιανοὺς θῦσαι. » Καὶ τότε γνωρισθεὶς ὁ Φιλήμων, ἐτιμωρήθη μετὰ τῶν ἄλλων παρὰ τοῦ ἡγεμόνος. Συνεσχέθη δὲ καὶ ὁ Ἀπολλώνιος, ὡς αἴτιος γεγονὼς τῆς εἰς Χριστὸν πίστεως τῷ Φιλήμονι· καὶ ἀχθεὶς πρὸς τὸν ἡγεμόνα, τὴν εἰς Χριστὸν ἀνεκήρυξε πίστιν· διὸ τέμνεται τὰ νεῦρα τῶν ποδῶν αὐτοῦ καὶ καθ' ὅλης τῆς πόλεως σύρεται. Ὁ δὲ Φιλήμων εἰς φυτὸν περσαίας κρεμασθεὶς τοξεύεται· τὰ δὲ βέλη αὐτοῦ μὲν οὐχ ἥψαντο[8]. Ἐν δὲ ἐνεχθὲν πρὸς τὸν ἡγεμόνα ἐξεκέντησεν αὐτοῦ τὸν ὀφθαλμόν, ὃν ὁ ἅγιος Φιλήμων κατέστησεν ὑγιῆ, προειπὼν αὐτῷ, ὅτι μετὰ τὸ μαρτύριον αὐτοῦ χοῦν ἐκ τῆς σοροῦ λαβὼν ὑγιῆ τὸν ὀφθαλμὸν ἀπολήψεται. Τὰς κεφαλὰς οὖν ἀμφοτέρων τιμηθέντων, τοῦ τε ἁγίου Φιλήμονος καὶ Ἀπολλωνίου, ὁ ἡγεμὼν μεθ' ἡμέραν ἔνθα κατετέθησαν οἱ ἅγιοι παραγενόμενος κατὰ τὴν τοῦ ἁγίου πρόρρησιν γέγονεν ὑγιής· ὅθεν αὐτὸς καὶ οἱ σὺν αὐτῷ πιστεύουσι τῷ Χριστῷ καὶ βαπτίζονται. Τοῦτον δὲ μεταπεμψάμενος ὁ βασιλεὺς Διοκλητιανὸς καὶ πεδήσας σιδήροις καὶ λίθον ἐν τῷ τραχήλῳ αὐτοῦ περιθείς, ἐν χάσματι κατέχωσε γῆς· ὃν παραδόξως σωθέντα[9] ἐπὶ τῆς κλίνης αὐτοῦ θεασάμενος ἐν τοῖς βασιλείοις, μάγον εἶναι οἰηθείς, | ἐν τῇ θαλάσσῃ ἀπέρριψε μετὰ τῶν προ- f. 105'.
τικτόρων πιστευσάντων καὶ αὐτῶν[10] τῷ Χριστῷ. Συνεκκομισθὲν δὲ τὸ τοῦ ἁγίου Ἀρριανοῦ λείψανον ὑπὸ τῶν παίδων αὐτοῦ, ἐπὶ νώτου δελφῖνος ἐποχούμενον ἔνδοθεν σάκκου, μετὰ καὶ ἑτέρων σάκκων παραπλησίων περιεχόντων τὰ τῶν προτικτόρων σώματα ἐτάφη.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς μετὰ φιλανθρωπίας ἐπενεχθείσης ἡμῖν φοβερᾶς ἀπειλῆς τοῦ σεισμοῦ, ἧς παρ' ἐλπίδα πᾶσαν ἐλυτρώσατο ἡμᾶς ὁ φιλάνθρωπος Θεός.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΕ'.

Dec. 15. **1.** Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος[1] Ἐλευθερίου. Οὗτος ἦν ἀπὸ τῆς μεγαλοπόλεως[2] Ῥώμης· νέος δὲ τὴν ἡλικίαν ὑπάρχων ἐγένετο ἐκ πατρὸς ὀρφανός· μητέρα δὲ εἶχεν ὀνόματι Ἀνθίαν, παρ' ἧς καὶ τὴν εἰς Χριστὸν πίστιν ἐδιδάχθη, προδιδαχθείσης ὑπὸ τοῦ μεγάλου Παύλου τοῦ ἀποστόλου.

— [2] λίθοις καὶ ξύλοις ἀψύχοις καὶ ἀναισθήτοις Sa. — [3] ὑγιωθεὶς Sa. — [4] παρέδωκε Sa.
2. — [1] τῆς βασιλείας *add.* Sa. — [2] τοῦ βασιλέως *om.* Sa. — [3] οἱ πάντες Sa. — [4] καὶ *add.* Sa. — [5] νομίσματα Sa. — [6] *om.* Sa. — [7] οὕτω Sa. — [8] ἥψατο Sa. — [9] σωθέντες Sa. — [10] *corr.* Sa, *prius* αὐτῷ.
1. — [1] μάρτυρος Sa. — [2] μεγάλης πόλεως Sa.

Dec. 14. ὑπῆρχον ἐπὶ Δεκίου τοῦ βασιλέως καὶ Κουμβρικίου ἡγεμόνος. Τοῦ οὖν ἡγεμόνος διωγμὸν κατὰ τῶν χριστιανῶν κινοῦντος ἐν τοῖς μέρεσιν Νικομηδείας καὶ Νικαίας καὶ Καισαρείας τῆς κατὰ Βιθυνίαν αὐτομολήσας... Des. : Ὁ δὲ ἅγιος Θύρσος ἐν κιβωτίῳ βληθεὶς ὥστε διατμηθῆναι τῷ πρίονι, διέμεινεν ἀβλαβής, τῇ τοῦ Θεοῦ χάριτι κινῆσαι τὸν πρίονα τῶν ἑλκόντων μὴ δυναμένων· ἔνθα τὴν ψυχὴν παρέθετο τῷ Θεῷ, ἄνωθεν αὐτῷ προγενομένης φωνῆς καὶ παραδηλούσης τὰ ἀποκείμενα αὐτῷ ἀγαθά. — 2 : Φιλήμονος καὶ Ἀπολλωνίου, Ὑπατίου καὶ τῆς συνοδίας αὐτῶν. Οὗτοι ὑπῆρχον ἐπὶ Διοκλητιανοῦ βασιλέως... Des. : συνεκομίσθη δὲ τὸ τοῦ ἁγίου Ἀρειανοῦ λείψανον παρὰ τῶν παίδων αὐτοῦ, ἐπὶ νώτου δελφῖνος ἐποχούμενον κατὰ τὴν τοῦ ἁγίου πρόρρησιν. — 3. — **B** : 1. 2. — Ἀρριανοῦ καὶ τῶν προτικτόρων. — **Ba** : 1 (Οὗτοι ὑπῆρχον ἐπὶ Δεκίου τοῦ βασιλέως καὶ Κουμβρικίου ἡγεμόνος· αὐτόμολος οὖν ὁ ἅγιος Λεύκιος προσελθών... Des. : τὰ ἀποκείμενα αὐτῷ ἀγαθά). — 2 (= F). 3 (= S). — **T** : 1. — **L** : 1. — **Q** : 1. 2. — **C** : 1. 2. — **Cb** : 1. 2. — Περὶ τῶν λειψάνων τοῦ ἁγίου Ἀρριανοῦ. — **Cc** : 1. 2. — **Cd** : 1. 2. — Περὶ τῶν λειψάνων... — **M** : 1. — Καλλίνικος ξ. τ. — 2 (Φιλήμονος καὶ Ἀπολλωνίου). — Ἀρριανὸς καὶ οἱ πιστεύσαντες προτίκτορες τῷ Χριστῷ ἐν θαλάσσῃ ῥιφέντες τ. — Ἡ εὕρεσις τῶν λειψάνων αὐτῶν. — 3. — **Mv** : 1. 2. — Τῶν τεσσάρων προτικτόρων τῶν συναθλησάντων τῷ ἁγίῳ Ἀρρειανῷ[2]. — 3. — **Mb** : 1. 2. — Περὶ τῆς εὑρέσεως τῶν ἁγίων λειψάνων τοῦ ἁγίου Ἀρρειανοῦ[3] καὶ τῶν προτικτόρων. — **Mr** : 1. 2.

Dec. 15. SYNAXARIA SELECTA. **Sa** : 1. 3 : μνήμη τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Παύλου τοῦ νέου τοῦ ἐν τῷ ἁγίῳ Λάτρῳ ἀσκήσαντος. Οὗτος ὁ παγγέραστος καὶ μέγας ἐν ἀσκηταῖς γέγονεν ἐξ Ἐλαίας πόλεως, ἥτις ἐστὶ πλησίον Περγάμου τῆς Ἀσίας. Γεννήτορες δὲ αὐτῷ Ἀντίοχος καὶ Εὐδοκία,

— [2] Ἀριανῷ Mv. — [3] Ἀρειανοῦ Mb.

Προσήχθη δὲ ὑπ' αὐτῆς τῷ ἐπισκόπῳ Ἀνικήτῳ· καὶ παρ' αὐτοῦ τὰ ἱερὰ γράμματα μανθάνει καὶ τῷ τῶν κληρικῶν καταλέγεται τάγματι καὶ πεντεκαίδεκα χρόνων γενόμενος χειροτονεῖται διάκονος, ἐν δὲ τῷ ὀκτωκαιδεκάτῳ πρεσβύτερος· εἰς δὲ τὸν εἰκοστὸν[3] ἐλάσας, ἐπίσκοπος προχειρίζεται τοῦ Ἰλλυρικοῦ, πολλὰ πρότερον διὰ τὸ τῆς ἀρετῆς ὑπερβάλλον κατεργασάμενος θαύματα. Ἐπεὶ δὲ διδάσκων πολλοὺς πρὸς τὴν εἰς Χριστὸν πίστιν ἐπέστρεφε, μεταπέμπεται τοῦτον Ἀδριανὸς ὁ[4] βασιλεύς, καὶ τὸν Χριστὸν κηρύξαντα ἐνώπιον αὐτοῦ προστάσσει τεθῆναι ἐπὶ κραββάτου χαλκοῦ καὶ σώρευμα πυρὸς ὑποστρωθῆναι κάτωθεν· εἶτα ἐν ἐσχάρᾳ τεθῆναι, καὶ αὖθις ἐν τηγάνῳ[5] ἐκπυρωθέντι πλήρει ἐλαίου καὶ στέατος καὶ πίσσης· τῇ δὲ τοῦ Χριστοῦ χάριτι καὶ δυνάμει ἐξ ἀμφοτέρων φυλάττεται ἀβλαβής. Εἶτα σκευάζεται κλίβανος τῇ συμβουλῇ τοῦ ἐπάρχου Κορέβορος[6], ἔχων ἑκατέρωθεν ὀβελίσκους ὀξεῖς, ἐν ᾧ αὐτὸς ὁ Κορέβωρ[7] εἰσῆλθε Πνεύματος ἁγίου πλησθεὶς καὶ τὸν Χριστὸν Θεὸν εἶναι ἀληθινὸν[8] ὁμολογήσας· καὶ ἐξελθὼν ἀβλαβὴς τὴν κεφαλὴν ἀποτέμνεται. Ὁ δὲ ἅγιος Ἐλευθέριος ἐβλήθη ἐν τῷ κλιβάνῳ· καὶ σβεσθείσης τῆς φλογὸς ἐξῆλθε σῶος καὶ ἐν εἱρκτῇ τίθεται. Dec. 15.
Εἶτα δεσμεῖται ἐν ἅρματι ὑπὸ πώλων <ἀγρίων[9]> συρομένῳ· καὶ ὑπὸ ἀγγέλου λυθεὶς εἰς ὄρος ὑψηλὸν καθίσταται, ἔνθα ἦν μετὰ ἀγρίων ζῴων συνδιαιτώμενος· τὰ δὲ ἐξημεροῦντο, τὰ τοῦ Θεοῦ λόγια διεξιόντος αὐτοῦ. Εἶτα | τοὺς εἰς τὴν σύλ- f. 106.
ληψιν αὐτοῦ ἀποσταλέντας[10] στρατιώτας νουθετήσας βαπτίζει, μεθ' ὧν καὶ ἑτέρους ὡσεὶ πεντακοσίους πιστεύσαντας τῷ Χριστῷ[11]. Ἀχθεὶς δὲ πρὸς τὸν βασιλέα καὶ θηρίοις βληθεὶς καὶ σῶος διαφυλαχθείς, ὑπὸ δύο στρατιωτῶν ἀναιρεῖται, προστάξει τοῦ βασιλέως συμπεσόντων αὐτῷ. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρείῳ αὐτοῦ τῷ ὄντι πλησίον τοῦ Ξηρολόφου.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Βάκχου τοῦ νέου. Οὗτος ὡρμητο μὲν ἐκ Παλαιστίνης, ὢν ἐν τοῖς χρόνοις[1] Εἰρήνης καὶ Κωνσταντίνου τῶν εὐσεβῶν βασιλέων Ῥωμαίων[2]. Ἦν δὲ ὁ τούτου πατὴρ χριστιανὸς ἐκ προγόνων καὶ χριστιανικωτάτῃ γυναικὶ συνοικῶν, πρὸς δὲ τὴν τῶν Ἀγαρηνῶν θρησκείαν ἀπέδρασε[3] καὶ ηὐτομόλησε, δαιμονικαῖς συμβουλαῖς καὶ κοσμικοῖς δελεάσμασιν ὑπαχθείς. Ἐγέννησεν οὖν παῖδας ἑπτὰ καὶ

— [3] ἔτος *add.* Sa. — [4] *om.* Sa. — [5] τῇ γάνῳ Sa. — [6] Κορέμβωρος Sa. — [7] Κορέμβων Sa. — [8] ἀληθινὸν εἶναι Sa. — [9] Sa. *om.* S. — [10] ἀποσταλλέντας S. — [11] τῷ Χριστῷ *om.* Sa.
2. — [1] τῆς εὐσεβεστάτης βασιλίσσης *add.* Sa. — [2] (τῶν - Ῥωμαίων) τοῦ ταύτης υἱοῦ Sa. — [3] ἀπέδρα Sa.

ἐπιφανεῖς ἄμφω καὶ γένος καὶ ἀρετήν. Τοῦ γοῦν πατρὸς πολέμου νόμῳ τὸν βίον καταλιπόντος — κόμης Dec. 15.
γὰρ ἐτύγχανεν ὢν ἐν τῷ πλωΐμῳ στρατῷ — ἡ μήτηρ τοὺς υἱοὺς ἀραμένη, ἐπεὶ καὶ ἕτερος ἦν αὐτῇ πρωτογενὴς τοῦ Παύλου Βασίλειος ὄνομα, πρὸς τὰ τῆς Ἀπολλωνιάδος ἔρχεται μέρη, — ἐκεῖθεν γὰρ αὕτη τὰς τοῦ γένους εἵλκε πηγάς, — καὶ τοῖς τοῦ Μαρυκάτου καλουμένοις τόποις ἐγκατοικίζεται. Οὐ πολὺ τὸ ἐν μέσῳ καὶ ὁ Βασίλειος ὑπὸ τῆς μητρὸς ἄκων πρὸς γάμον ἑλκόμενος, φυγὰς πρὸς τὸν Ὄλυμπον γίνεται καὶ τὸν μοναστὴν ὑπέρχεται βίον· εἶτ' ἐκεῖθεν ἀπαναστὰς εἰς τὸ τοῦ Βραχιανοῦ μετῴκησεν ὄρος. Ἡ δὲ μήτηρ σὺν τῷ Παύλῳ καταλειφθεῖσα, ἐπ' αὐτῷ μόνῳ τὰ τῆς ἐλπίδος σαλεύουσα ἦν. Ἀλλὰ καὶ ταύτης τὸ κοινὸν ἀποδούσης χρέος, μόνος ὁ Παῦλος καταλέλειπτο, τὴν ὀρφανιαν φέρων καὶ τὰ ἐκ ταύτης δεινά· πλὴν ἀλλ' ὁ τοῦτον ἐκ μήτρας ἡγιακὼς καὶ ἀφορίσας ἑαυτῷ, ὡς εἰδώς, οἷον σκεῦος εὔχρηστον εἰς ὑποδοχὴν τοῦ θείου μύρου γενήσεται[1], τὴν τοῦ Βασιλείου καρδίαν εἰς ἐπιθυμίαν τοῦ ἀδελφοῦ διανίστησι, καὶ τρεῖς περὶ τὸ τοῦτον ἀναζητῆσαι παρεγγυᾷ. Ὁ δὲ διά τινος μοναχοῦ τὴν ὁδὸν ἀκριβῶς εἰδότος τὸν Παῦλον μεταπεμψάμενος καὶ μικρὸν παρ' ἑαυτῷ κατασχών, εἶτα τοῦτον παραλαβὼν τῷ μεγάλῳ πατρὶ Πέτρῳ φέρων πρὸς παιδείαν πνευματικὴν παραδίδωσιν, ὅς τῆς μονῆς, ἣ Καρύα ὠνόμαστο, ἐξηγεῖτο καὶ φωστῆρος δίκην τῷ τότε διέλαμπεν. Ὁ δὲ θείῳ Πνεύματι προειδώς, οἷος ὁ παῖς προῖων τὴν ἀρετὴν ἀποβήσεται, ἄσμενος αὐτὸν ὑποδέχεται. Καὶ πρῶτα μὲν ἑαυτῷ πρὸς ὑπηρεσίαν ἀποτάττει, εἶτα καὶ ταῖς λοιπαῖς ἐντάττει διακονίαις. Ὁ δὲ οὐ μόνον ταύταις ἐγκαρτερῶν ἀλλὰ καὶ ἑτέρας οἴκοθεν ἀσκήσεις καὶ κακοπαθείας ἐπινοῶν, εἰς τοσοῦτον χάριτος προήχθη, ὡς καὶ πῦρ οὐράνιον ὀφθαλμοφανῶς ἰδεῖν κατελθὸν ἐπ' αὐτὸν καὶ ὅλον δι' ὅλου περιλαβὸν καὶ ἄκαυστα πυροῦν. Ἐντεῦθεν μειζόνως τὴν καρδίαν φλεχθεὶς πολὺν[2] τὸν τῆς ἡσυχίας ὤδινεν ἔρωτα, ἀλλ' ἐπείχετο παρὰ τοῦ πνευματικοῦ πατρὸς διὰ τὸ[3] νέον ἔτι τῆς ἡλικίας καὶ πρὸς τὴν μόνωσιν ἄηθες. Τούτου δὲ πρὸς Θεὸν μεταστάντος, εὐκαίρου λαβόμενος ἁρμῆς ὁ Παῦλος ἅμα Δημητρίῳ φίλῳ δή τινι καὶ συνήθει πρὸς τὸ Λάτρον γίνεται· καὶ τοῦτο περινοστήσας εἰς τὴν Φιλέρημον λεγομένην ἠρετίσατο κατοικεῖν· ἐν ᾗ μῆνας ὀκτὼ διαβιβάσας καὶ πᾶσαν ἄσκησιν ἐνδειξάμενος, πάντα τε πειρασμὸν προφανῆ τε καὶ νοητὸν παρὰ τῶν τῆς πονηρίας πνευμάτων ὑποστάς, εἰς τὴν Καρύαν αὖθις σὺν τῷ Δημητρίῳ[4] ὑποστρέφει, γράμμασι τοῦ προεστῶτος μετακληθείς. Ἀλλ' ὀλίγας ἡμέρας ἐν αὐτῇ ποιήσας καὶ μὴ φέρων ἔτι τὴν τῆς ἡσυχίας διάζευξιν, τοῖς ἐκεῖσε συνταξάμενος, μόνος πάλιν ἄνεισι πρὸς τὸ Λάτρον καὶ τὸν ἀχειροποίητον εἴσεισι στύλον. Ὑφ' ὃν καὶ ἡ τούτου περίκλυτος λαύρα ἐνίδρυται· ἐν ᾧ δώδεκα διακαρτερήσας ἐνιαυτοὺς καὶ λιμῷ καὶ δίψει καὶ πολλῇ ταλαιπωρίᾳ καὶ δαιμόνων πειρασμοῖς ἀνηκέστοις διαπαλαίσας, ἐκεῖθεν κατελθὼν τὸ ὄρος διήκει μονώτατος, σπήλαιά τε καὶ φάραγγας καὶ κρημνοὺς ἀβάτους περινοστῶν καὶ διηνεκεῖ μελέτῃ[5] τρυφὴν τὰ τοῦ Κυρίου ποιούμενος λόγια. Ἐπεσκέπτετο δὲ καὶ τακταῖς ἡμέραις τοὺς ὑπ' αὐτόν ἀδελφούς, οὓς ἐν τῷ στύλῳ ὢν εἰσεδέξατο, νουθετῶν καὶ ὑποστηρίζων καὶ πρὸς τὴν τῆς ἀρετῆς ἀλείφων ἀκρίβειαν. Ἀλλ' ἡ τοῦ στύλου τοῦτον κατελθεῖν ἐκβιασαμένη αἰτία — ἥδε

[1] γεννήσεται Sa. — [2] πολλὴν Sa. — [3] τὸν Sa. — [4] Δημετρίῳ Sa. — [5] καὶ *add.* Sa.

Dec. 15. τούτους ἀνέτρεφεν ἐπὶ τῇ ὁμοίᾳ δόξῃ τῆς θρησκείας πρὸς ἣν αὐτὸς ἐξώκειλεν. Αὐτοῦ οὖν τὸν βίον καταστρέψαντος καὶ ἐν κακοδοξίᾳ τὴν ψυχὴν ἀπορρήξαντος, οἱ ἑπτὰ[4] παῖδες ἅμα τῇ μητρὶ κατελείφθησαν. Ὧν ἦν ὁ τρίτος κατὰ τὴν τῆς γεννήσεως τάξιν Δαχὰκ ὀνομαζόμενος, ὅπερ ἑρμηνεύεται ἑλληνιστὶ Γελάσιος. Οὗτος οὖν ἄζυγα ἑαυτὸν ἐτήρει καὶ κοινωνεῖν[5] γάμῳ οὐκ ἠβουλήθη, ἀλλὰ μᾶλλον ἐβούλετο καὶ πρὸ τῆς τοῦ πατρὸς τελευτῆς τὰ[6] χριστιανῶν ἐλέσθαι· ὅπερ ἀποθανόντος αὐτοῦ κατεπράξατο. Ἀναθέμενος γὰρ τὰ περὶ αὐτοῦ[7] τῇ μητρὶ αὐτοῦ πιστῇ οὔσῃ[8] καὶ συγχαίρουσαν εὑρὼν ἀπῆρε τῆς ἐνεγκαμένης καὶ τὰ Ἱεροσόλυμα κατέλαβεν· εἶτα ἐκεῖθεν παρὰ μοναχοῦ τινος ὁδηγηθεὶς ἦλθεν εἰς τὴν λαύραν[9] τοῦ ἁγίου Σάβα, ἔνθα τοῦ ἁγίου βαπτίσματος ἀξιοῦται. Εἶτα δεηθεὶς τὸ τῶν μοναχῶν περιβάλλεται σχῆμα· ἐν ᾧ καλῶς πολιτευσάμενος καὶ ἐγκρατείᾳ καὶ ταῖς λοιπαῖς ἀρεταῖς στομώσας ἑαυτόν, κατὰ πρόσταξιν τοῦ ἡγουμένου τῆς μονῆς ἐξέρχεται, δεδιότος, μὴ φωραθείη βαπτίζων Ἀγαρηνόν· ἐκράτουν γὰρ οὗτοι τῆς χώρας. Κατὰ τύχην δὲ ἢ μᾶλλον θείκὴν οἰκονομίαν ἐν Ἱεροσολύμοις γενόμενος καὶ τῇ οἰκείᾳ συναντήσας μητρί, — ἦν γὰρ καὶ αὐτὴ περιερχομένη καὶ ἀναζητοῦσα αὐτόν, — τὰ κατ' αὐτὸν ἅπαντα ἐξαγγέλλει καὶ πάνυ λυπεῖσθαι λέγει περὶ τῶν ἀδελφῶν, ὅτι ἐν ἀπιστίᾳ εἰσί. Τοῦτο δὲ οἱ αὐτοῦ ἀδελφοὶ | παρὰ τῆς μητρὸς ἀκούσαν- f. 106v.
τες, τῇ τοῦ Χριστοῦ πίστει προσέρχονται, ἑνός τινος μόνου περιλειφθέντος[10] τῇ τῶν Ἀγαρηνῶν θρησκείᾳ. Ὃς δῆλα τὰ κατὰ τὸν ἅγιον Βάκχον — τοῦτο γὰρ ἐν τῷ βαπτίζεσθαι ἀντὶ τοῦ Δαχὰκ μετωνομάσθη — τοῖς Ἀγαρηνοῖς πεποίηκεν. Οἱ δὲ ἀνερευνησάμενοι καὶ συλλαβόντες αὐτὸν πρὸς τὸν ἀμηρᾶν τῆς ἁγίας πόλεως μετὰ πολλῆς ἀπήγαγον τῆς σπουδῆς. Ὁ δὲ τῷ ὀνομαζομένῳ στρατηγῷ παρ' αὐτοῖς καὶ τοῖς κριταῖς ἐκπέμπει αὐτόν· ὧν ἐνώπιον τὸν Χριστὸν ὁμολογήσας καὶ τὴν τῶν Ἀγαρηνῶν πίστιν ὡς[11] ματαίαν διαβαλὼν καὶ μυκτηρίσας, τὴν κεφαλὴν ἀποτέμνεται.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Παύλου τοῦ νέου, τοῦ ἐν τῷ ὄρει τοῦ Λάτρους ἀγωνισαμένου καὶ ἀναπαυσαμένου ἐν τοῖς χρόνοις τοῦ Πορφυρογεννήτου.

4. Ἰστέον ὅτι ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Ἰωάννης ὁ Χρυσόστομος ἐν ταύτῃ τῇ ἡμέρᾳ[1] ἐχει-

— [4] *om.* Sa. — [5] κοινωνῆσαι Sa. — [6] τῶν *add.* Sa. — [7] τὰ περὶ αὐτοῦ *om.* Sa. — [8] τὰ περὶ ἑαυτοῦ *add.* Sa. — [9] λάβραν Sa. — [10] ἐν *add.* Sa. — [11] καὶ Sa.

4. — [1] τοῦ ὁσίου πατρὸς ἡμῶν Παύλου *add.* Sa.

Dec. 15. ἦν[6] τὸ τῶν προσιόντων πλῆθος καὶ περικοπτόντων αὐτοῦ[7] τὸ φιλήσυχον· καὶ πρὸς τὴν Σάμον λάθρα γενέσθαι καὶ τὸ τοῦ Κέρκου ὄρος οἰκεῖν κατηνάγκασε· πάλιν δὲ τοῖς τῶν ἐν τῷ Λάτρῳ φοιτητῶν αὐτοῦ θρήνοις ἐπικλασθεὶς ὑποστρέφει, τῶν προτέρων ἢ καὶ μειζόνων μᾶλλον πόνων ἐχόμενος. Δαψιλῆ γοῦν τὴν χάριν τοῦ θείου Πνεύματος πλουτήσας καὶ ὅλος οἶκος τῆς ἁγίας Τριάδος γεγονώς, θαυμάτων ἐξαισίων αὐτουργὸς ἐχρημάτισεν. Ὕδωρ τε γὰρ ἐκ πέτρας ἀνίκμου διὰ προσευχῆς ἐκβλῦσαι καὶ ἀένναον εἰσέτι μένειν πεποίηκεν, οἶνου ἀμφορεῖ βραχυτάτῳ λαὸν πολυάριθμον κατακόρως εὔφρανε. Τροφὴν οὐ μόνον ἅπαξ ἀλλὰ καὶ διαφόρως ἐκ χειρὸς ἁγίου ἀγγέλου ἐδέξατο, ὄμβρου ῥαγδαίαν φορὰν παραδόξως ἔστησε, νεφέλῃ δροσώδει τὰς ἡλιακὰς ἀπεῖρξε φλογώσεις, θαλάσσης κλύδωνα καὶ τρικυμίαν ἀνύποιστον κατεστόρεσε, τὰς αἰωνιζούσας καὶ φρικώδεις κολάσεις νοὸς ὀφθαλμοῖς ἐθεώρει, προρρήσεις θείας ἐξήνεγκε, τοῦ δεσμεῖν καὶ λύειν τὴν χάριν ἐπλούτησεν, ἐλλάμψεών τε καὶ ἀποκαλύψεων καὶ διακρίσεων πνευμάτων καὶ χαρίτων θεσπεσίων καὶ ἄλλων δή τινων πνευματικῶν θεωριῶν ὅλος ἔμπλεως ἦν, ἃ καθ' ἓν ἀριθμεῖν ἐν τῷ τέως οὐκ εὐχερές, ὁ δὲ τῷ[8] τούτου βίῳ ἐντυχὼν ἀκριβῶς εἴσεται. Οὕτως οὖν εἰλικρινῶς καὶ θεαρέστως βιώσας καὶ τοιούτων ἀγαθῶν καταξιωθεὶς καὶ πλήρης ἡμερῶν τῶν τε θείων καὶ λυομένων γενόμενος, ἐπεὶ προέγνω τὴν ἑαυτοῦ τελευτήν, κάτεισι δρομαῖος πρὸς τὴν μονήν, δεκάτῃ πρὸ τῆς ἐκδημίας ἡμέρᾳ· καὶ πολλὰ τοῖς ἀδελφοῖς περὶ σωτηρίας διαλεχθεὶς καὶ τὴν θεόφθεγκτον αὐτοῦ διαθήκην ὑπαγορεύσας καὶ παραδούς, μικρὸν νοσήσας, ἐν εἰρήνῃ πρὸς τὸν τῆς εἰρήνης ἀναλύει Θεόν, πολλὰς καὶ μετὰ θάνατον τὰς ἀθανάτους τῶν θαυμάτων προχέων πηγάς. Ἦν δὲ ὁ θαυμάσιος οὑτοσὶ καὶ ἱλαρώτατος εἴπερ τις πατὴρ ἡμῶν Παῦλος τὴν ἡλικίαν βραχύς, τὴν κεφαλὴν φαλακρός, τὴν ὑπήνην οὐκ εἰς μῆκος πολὺ καθειμένην ἔχων ἀλλὰ μᾶλλον πλατεῖαν, τὴν ὄψιν ὠχρὸς μὲν ἀλλὰ θαυμαστὴν ἐπιλάμπουσαν αὐτῇ[9] τὴν χάριν ἔχων καὶ ἀκριβῶς θεσπεσίαν. — 2. 4. — **Sb** : 1. — Σωσάννης (Sept. 19[2]). — **H** : 1. — Σωσάννης. — **P** : 1. — Σωσάννης. — **Da** : 1. — Σωσάνης (= Ba). — 2. — **Db** : 1. — Σωσάννης. — 2. — **F** : 1. — Σωσάννης[10]. — 2. — **Fa** : 1. — Σωσάννης (= Ba). — 2. — **B** : 1. — **Ba** : 1 : Ἐλευθερίου. Οὗτος ἦν ἐκ τῆς πόλεως Ῥώμης ἐκ πατρὸς ὀρφανός, μητέρα δὲ μόνην ἔχων, ᾗ ὄνομα Ἀνθία, τὴν εἰς Χριστὸν πίστιν ὑπὸ τοῦ ἁγίου Παύλου κατηχηθεῖσαν... Des. : ἀλλὰ καὶ ἡ μήτηρ αὐτοῦ, περιχυθεῖσα τὸ τούτου σῶμα, συναιρεῖται τῷ υἱῷ. — Σωσάννης[10]. Αὕτη ἦν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως ἐν Παλαιστίνῃ, ἐκ πατρὸς ἕλληνος, μητρὸς δὲ Ἰουδαίας... Des. : Ἡ δὲ ἁγία Σουσάννα μόλιβδον ὑπὸ πυρὸς λυθέντα διὰ χώνης διὰ τοῦ στόματος ἐπὶ τὰ ἔγκατα ὥσπερ ὕδωρ ψυχρὸν δέχεται· εἶτα μαστιχθεῖσα καὶ ἐν πυρὶ βληθεῖσα τῷ Κυρίῳ παρέθετο τὴν ψυχήν. — 2. — **Bb** : 1. — **T** : 1. — **L** : 1. — **Q** : 1. — **C** : Περὶ τῶν λειψάνων τοῦ ἁγίου Ἀρειανοῦ καὶ τῶν προτικτόρων. — 1. — **Cb** : 1. — **Cc** : Περὶ τῶν λειψάνων τοῦ ἁγίου Ἀρρειανοῦ (Dec. 14[2]). — 1. — **Cd** : 1. — **M** : 1. — Ἀνθία μήτηρ τοῦ ἁγίου Ἐλευθερίου ἕ. τ. — Κορέμων ὁ ἔπαρχος πιστεύσας τῷ Χριστῷ καὶ βαπτισθεὶς ἕ. τ. — Οἱ δύο δήμιοι πιστεύσαντες τῷ Χριστῷ ἕ. τ. —

— [6] ἡ *add.* Sa. — [7] αὐτῶν Sa. — [8] τὸ Sa. — [9] αὐτῇ ||||||| Sa. — [10] Σουσάνης F, Ba.

ροτονήθη πατριάρχης Κωνσταντινουπόλεως νέας Ῥώμης, ἐν ᾗ καὶ ἡ ἑορτὴ τῶν Χριστοῦ γεννῶν ἀπήρξατο ὑπ' αὐτοῦ τελεῖσθαι ἕως τῆς εἰκοστῆς πέμπτης τοῦ μηνός, τινῶν ἀπὸ τῶν ἑσπερίων[2] ἐλθόντων καὶ ἀπαγγειλάντων[3]. Διὸ καὶ λόγος ἀπολογητικὸς ἐξεφωνήθη παρ' αὐτοῦ κάλλιστος καὶ ὠφέλιμος. Dec. 15.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ιϛ'.

1. Μνήμη τοῦ ἁγίου[1] προφήτου Ἀγγαίου, ὃς ἑρμηνεύεται ἑορτὴ ἢ ἑορτάζων ἢ ἑορταζόμενος[2]. Οὗτος ἦν ἐκ φυλῆς Λευΐ, ἐτέχθη δὲ ἐν Βαβυλῶνι. Καὶ ἔτι νέος ὢν ἦχθη ἐκ Βαβυλῶνος εἰς Ἱερουσαλὴμ καὶ προεφήτευσε μετὰ Ζαχαρίου ἔτη τριάκοντα ἓξ· προέλαβε δὲ τὴν σάρκωσιν τοῦ Χριστοῦ ἔτη τετρακόσια ἑβδομήκοντα, καὶ φανερῶς περὶ τῆς ἐπιστροφῆς τοῦ λαοῦ προεφήτευσε, καὶ εἶδεν ἐκ μέρους τὴν οἰκοδομὴν τοῦ ναοῦ· καὶ ἀποθανὼν ἐν εἰρήνῃ, ἐτάφη ἐν Ἱερουσαλὴμ πλησίον τοῦ τάφου τῶν ἱερέων ἐνδόξως, ὡς καὶ αὐτοί, ἐπειδὴ καὶ αὐτὸς ἦν ἐκ γένους ἱερατικοῦ. Ὑπῆρχε δὲ κομήτης, πολιὸς τὴν τρίχα, στρογγύλον ἔχων τὸ γένειον, τὴν ἡλικίαν ἔντιμος, τὴν ἀρετὴν περιφανής, ἀγαπώμενος ὑπὸ πάντων καὶ τιμώμενος ὡς τοῦ Θεοῦ ἔνδοξος προφήτης.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Μαρίνου. Οὗτος ἦν ἐπὶ Μακρίνου τοῦ βασιλέως Ῥώμης, Ῥωμαῖος τὸ γένος, τῆς συγκλήτου μετέχων βουλῆς καὶ τιμῆς ἐπὶ παιδικῆς ἔτι τῆς ἡλικίας. Διαβληθεὶς δὲ ὡς εἴη[1] χριστιανὸς καὶ εἰς ἐξέτασιν
f. 107. ἀχθεὶς | καὶ θῦσαι μὴ βουληθεὶς ἀναρτᾶται καὶ σπαθίζεται. Εἶτα ἐπὶ ἐσχάρας πυρὸς τίθεται καὶ ἐν τηγάνῳ ἐκκαυθέντι καὶ ἐν χαλκῷ λέβητι, καὶ ἐκ πάντων τῇ τοῦ Χριστοῦ χάριτι ῥύεται, τοῦ πυρὸς εἰς δρόσον μεταβληθέντος· καὶ πολλῶν ἐπ' αὐτὸν θηρίων[2] ἀπολυθέντων, διαφυλάττεται ἀσινής· εἶτα διὰ προσευχῆς καταβάλλει τὰ εἴδωλα, ἀπατήσας τὸν βασιλέα, ὡς ἀφίξεται πρὸς τὸν ναὸν καὶ θυσίαν τοῖς εἰδώλοις προσάξει· καὶ οὕτως[3] τὴν διὰ ξίφους δέχεται τελευτήν, προπεμπόντων αὐτὸν τῆς τε μητρὸς καὶ τοῦ πατρὸς καὶ μακαριζόντων.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Πρόμου[1], Ἱλαρίωνος καὶ τῆς συνοδίας αὐτῶν.

4. Καὶ μνήμη τῶν ἐν ἁγίοις πατέρων[1] ἡμῶν Μέμνονος ἀρχιεπισκόπου Ἐφέσου καὶ Μοδέστου πατριάρχου[2] Ἱεροσολύμων. Dec. 16.

5. Καὶ τὰ ἐγκαίνια τοῦ ναοῦ τοῦ ἁγίου[1] Χριστοφόρου πλησίον τοῦ ἁγίου Πολυεύκτου.

6. Καὶ ἡ κοίμησις Νικολάου πατριάρχου Κωνσταντινουπόλεως[1] τοῦ Χρυσοβέργη.

7. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἁγίας καὶ ἀοιδίμου Θεοφανοῦς[1] τῆς βασιλίσσης καὶ θαυματουργοῦ, συζύγου γενομένης Λέοντος τοῦ σοφωτάτου βασιλέως, υἱοῦ Βασιλείου τοῦ ἐκ Μακεδονίας. Αὕτη ὑπῆρχεν γέννημα καὶ θρέμμα τῆς Κωνσταντινουπόλεως, ἐξ αἵματος βασιλικοῦ τὴν γέννησιν ἔχουσα ἐκ τῶν περιβλέπτων Μαρτινακίων· πατρὸς μὲν Κωνσταντίνου[2] τὴν ἀξίαν ἰλλουστρίου[3]. Ἡ δὲ ταύτης μήτηρ ἐλέγετο Ἄννα, ἐκ τῶν ἀφ' ἡλίου ἀνατολῶν τυγχάνουσα. Οὗτοι καθ' ἑκάστην ἤσχαλλον καὶ ἐδυσφόρουν παῖδα μὴ ἔχοντες, καὶ τὴν ἁπάντων κυρίαν καὶ μητέραν[4] τοῦ κτίστου εἰς βοήθειαν ἐπεκαλοῦντο, νύκτωρ καὶ μεθ' ἡμέραν κατὰ[5] τὸν ἐκείνης πανσεβάσμιον[6] ναὸν τὸν ἐν τοῖς Βάσσου λεγόμενον κατατρίβοντες καὶ τὰς δεήσεις αὐτῶν ἐκεῖσε ἐκχέοντες· « Δέσποινα, » λέγοντες, καὶ κυρία τοῦ κόσμου, λυθήτω δὴ ἡ » ἐκτήκουσα ἡμᾶς ἀπαιδία. » Καὶ ἐπεὶ πιστῶς ᾔτουν, ἔλαβον παιδίον θῆλυ. Τοῦτο δὲ ἀπογαλακτισθὲν καὶ περὶ ἑξαετίαν ἐλάσαν[7] γράμματα ἐκπαιδεύεται καὶ πάσαις καλῶν ἰδέαις καὶ ἀρεταῖς περιστέφεται. Ταῦτα βλέποντες οἱ γονεῖς ἔχαιρον καὶ ἐσκίρτων καὶ τῆς εὐπαιδίας οὐκ εἰς μακρὰν τὸ καλὸν[8] ἀπολήψεσθαι ἤλπιζον. Ἐπεὶ δὲ ὁ χρόνος τῆς ἡλικίας αὐτῆς προέβη, καὶ τοῖς ὁμοίοις, μᾶλλον δὲ κρείττοσι, προέκοπτε, | ζήτησις γέγονε f. 107v.
κόρης εὐόπτου καὶ ἐναρέτου. Εἰς ἣν πάντα τὰ κάλλιστα ὑπερβλύζοντα[9] οἱ βασιλεῖς εὑρηκότες, συνάπτουσι Λέοντι τῷ υἱῷ αὐτῶν καὶ βασιλεῖ. Καὶ

— [2] μερῶν *add.* Sa. — [3] ἀπαγγελλόντων Sa.

1. — [1] ἐνδόξου *add.* Sa. — [2] ἑορτάζοντος Sa.

2. — [1] *om.* Sa. — [2] Sa, θηρία S. — [3] οὕτω Sa.

3. — [1] Πρόβου Sa.

4. — [1] τοῦ ἐν ἁγίοις πατρὸς Sa. — [2] ἀρχιεπισκόπου Sa.

5. — [1] μάρτυρος *add.* Sa.

6. — [1] *om.* Sa.

7. — [1] Θεοφανοὺς S. — [2] Κόμητος S, Sa, Κωνσταντίνου *scripsit* E. Kurtz, Zwei gr. Texte ueber die hl. Theophano, *p. 46 ex Vita, ibid., p. 2.* — [3] ἰλουστρίου S. — [4] μητέρα Sa. — [5] καὶ S, κατὰ Kurtz. — [6] πάνσεπτον Sa. — [7] Sa, ἐλάσας S. — [8] τὸν καρπὸν Sa. — [9] ὑπερβλύζονται Sa.

Ἐλευθερίου τοῦ κουβικουλαρίου (Aug. 4[3]). — 2. 3. 4. — **Mv** : 1. — Ἀνθία. — Κορέμμος. — Οἱ δύοι δήμιοι. — Σωσάννης — Ἐλευθερίου τοῦ κουβικουλαρίου. — 2. 3. 4. — **Mb** : 1. — Ἐλευθερίου τοῦ κουβικουλαρίου. — 2. 3. 4. — **Mr** : 1. Dec. 15.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. 6. 7. — **Sb** : 2. — Βάκχου (Dec. 15[2]). — 1. 7. — **H** : 2. — Βάκχου. — 3. 4. 5. 1. 7, des. : Τελεῖται δὲ ἡ αὐτῆς σύναξις ἐν τοῖς ἁγίοις Ἀποστόλοις τοῖς μεγάλοις, ἔνθα τὸ τίμιον αὐτῆς λείψανον κατάκειται. — **P** : 2. — Τοῦ ἁγίου μάρτυρος Βάκχου τοῦ μαρτυρήσαντος ἐν τοῖς χρόνοις ἡμῶν ἐν Παλαιστίνῃ ἐπὶ Εἰρήνης καὶ Κωνσταντίνου ὀρθοδόξων καὶ φιλοχρίστων βασιλέων (Dec. 15[2]). — 3. 4. 5 : τὰ ἐγκαίνια τοῦ ἁγίου μάρτυρος Χριστοφόρου ἐν τῇ οἰκίᾳ τῶν Προμούντων. — **Da** : 1. 2. 7. — Τῶν ἁγίων πατέρων τὰ κατὰ τὸν μακάριον Ἀβραάμ κτλ. (Dominica sq.). — **Db** : 1. 2. 7. — **F** : 1. 2. 4. 5. 7. — **Fa** : 1. 2. 4. 5. 7. — **B** : 2. 1. 7. — **Ba** : 1. 2 (= S). 7. — **Bb** : 2. 1. 7. — **T** : 1. — **L** : 1. — **Q** : 1. — Ἀβραάμ, Ἰσαὰκ καὶ Ἰακώβ. — **C** : Σωσάννης (Sept. 19[2]). — 2. — Dec. 16.

Dec. 16. λοιπὸν χαρᾶς καὶ εὐφροσύνης τὰ πάντα ἐπληροῦντο. Οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ ὁ πονηρὸς Ζιζάνιον ἐνσπείρας τῇ ἀκοῇ τοῦ βασιλέως Βασιλείου διὰ γλώσσης τοῦ Σανταβαρηνοῦ ἀββᾶ, τὸν βασιλέα Λέοντα ἐγκατάκλειστον ποιεῖται ἅμα γυναικὶ χρόνοις τρισί. Τῶν δ' ἐγκαινίων τοῦ προφήτου Ἠλιοῦ καταλαβόντων, ὁ βασιλεὺς τῷ υἱῷ καταλλάττεται [10] καὶ μετ' αὐτοῦ τὴν προέλευσιν ποιεῖται. Ἐπεὶ δὲ αὐτοκράτωρ ἀνηγορεύθη Λέων ὁ βασιλεὺς ὑπὸ τοῦ πατρὸς αὐτοῦ διὰ τὸ νοσήματι αὐτὸν περιπεπτωκέναι, τηνικαῦτα ἡ τιμία βασίλισσα Θεοφανὼ [11] εἰς τὰ βασίλεια περινοστοῦσα τῆς ψυχικῆς σωτηρίας ἐπεμελεῖτο, τὴν δόξαν τῆς βασιλείας εἰς οὐδὲν λογιζομένη καὶ τὰ τερπνὰ τοῦ βίου ὡς ἀράχνην καὶ σκιὰν παραβλεπομένη. Νυκτὸς γὰρ καὶ ἡμέρας ψαλμοῖς καὶ ᾠδαῖς τὸν Θεὸν θεραπεύουσα, οὐκ ἔληγεν ἐλεημοσύναις καὶ πίστεσιν αὐτὸν ἐκζητοῦσα· τὰ γὰρ ἄνθη τῆς ἀλουργίδος φοροῦσα καὶ τὴν ἄλλην εὐπρέπειαν ἔξωθεν περιβεβλημένη, τοῖς ῥάκεσιν ἔνδον [12] κρυπτῶς κατέτρυχε τὸ σῶμα· καὶ ἀσκητικὴν ἀγωγὴν αἱρουμένη τῶν πολυτελῶν τραπεζῶν κατεφρόνει καὶ τῇ εὐτελεῖ καὶ αὐτοσχεδίῳ τοῦ ἄρτου καὶ τῶν λαχάνων ἐτρέφετο πανδαισίᾳ. Τὰ δ' ἐν ταῖς [13] χερσὶν αὐτῆς παρεμπίπτοντα χρήματά τε καὶ κτήματα, τίμια τοῖς βιωτικοῖς φαντάσματα [14], πένησιν ἐδίδου καὶ τῶν πέπλων τὰ πολύτιμα εἴδη τοῖς δεομένοις παρεῖχε· χήραις καὶ ὀρφανοῖς τὴν αὐτάρκειαν ἐχορήγει, τῶν μοναστῶν τὰ εὐτελῆ καταγώγια χρήμασι καὶ κτήμασι κατεπλούτιζε, τῶν οἰκετῶν ὡς ἀδελφῶν προενοεῖτο, οὐ κέκληκέ ποτέ τινα ἁπλῷ ὀνόματι, ἀλλὰ πάντων ἐκυριολόγει τὰς κλήσεις· οὐδέποτε εἰς θυμὸν ἐκινήθη, οὐκ ὠργίσθη ποτὲ οὐ μικρῷ οὐ μεγάλῳ, οὐκ ἐφθέγξατο ὅρκον διὰ τῆς γλώσσης, οὐ ψευδὲς ῥῆμα διὰ τῶν ταύτης χειλέων διῆλθεν [15] οὐδὲ λοιδορία, οὐκ ἐπαύσατό ποτε κρυπτῶς πενθεῖν καὶ σκυθρωπάζειν καὶ τὴν στρωμνὴν τοῖς δάκρυσι καταβρέχειν. Καὶ ἡ κλίνη δὲ αὐτῆς χρυσοϋφάντοις μὲν τάπησιν κατεστρωμένη τοῖς | οἰκείοις ὡράτο· f. 108.
ἡνίκα δὲ ἡ νὺξ κατέλαβεν, ἐκεῖθεν ἀνισταμένη ψιαθίῳ καὶ τριχίνοις ῥάκεσιν ἐν τῷ ἐδάφει κειμένοις [16] τὴν ἀνάπαυσιν ἐποιεῖτο, ὥραν ἐξ ὥρας ἀνισταμένη καὶ τῷ Θεῷ τὰς αἰνέσεις ἀναπέμπουσα. Διὸ καὶ ἐκ τῆς ἄγαν σκληραγωγίας ἡ σωματικὴ αὐτὴν περιεστοίχισε νόσος· αὐτὴ δὲ εἰς ἐγκρατείας ἀφορμὴν τὴν νόσον λαβοῦσα, οὐ διέλειπε διαθρύπτειν τοῖς πεινῶσι τὸν ἄρτον. Τὸ δὲ στόμα αὐτῆς ἐν τῇ μελέτῃ τῶν θείων νόμων ἐθισθέν, — οὐκ ἐπαύετο τὰ ἱερώτατα λόγια τοῦ Δαβὶδ κατεπάδουσα· οὐ παρεωρᾶτο ἐξ αὐτῆς ἡ ἑπτάκις αἴνεσις τοῦ Κυρίου οὐδὲ ὕπνωσεν ἀναπαύσεως ὕπνον ἄνευ δακρύων· ταῖς τῶν ἀλλοτρίων συμφοραῖς συμπαθοῦσα, δάκρυσι τὸν Θεὸν ἐκλιπαροῦσα, καταπονουμένοις χεῖρα ὀρέγουσα βοηθείας καὶ ὀρφανῶν καὶ χηρῶν προϊσταμένη, τῶν ἐν θλίψει καὶ ἀθυμίᾳ χειμαζομένων ὑπάρχουσα εὐθυμία καὶ παράκλησις, πάντα δὲ τὸν κόσμον καὶ τὰ ἐν κόσμῳ διὰ τὸν Χριστὸν ἀπαρνησαμένη καὶ τὸν χρηστὸν [17] τοῦ Κυρίου [18] ζυγὸν λαβοῦσα καὶ τὸν σταυρὸν ἐπ' ὤμων ἀραμένη — τῶν ἐλπιζομένων αὐτῇ οὐ διήμαρτεν ἀγαθῶν. Αὕτη αἰσθομένη τὴν ἐκ τοῦ κόσμου αὐτῆς ἀναχώρησιν, προέγνω [19] γὰρ τὴν ἐκδημίαν <ἐκ [20]> τοῦ σώματος, ἀσπάσασθαι αὐτὴν πάντας προέτρεψεν τὸν τελευταῖον ἀσπασμὸν καὶ οὕτως ἐν εἰρήνῃ τὸ πνεῦμα τῷ Θεῷ παρέθετο.

ΚΥΡΙΑΚΗ

πρὸ τῶν ἁγίων πατέρων ἡ λεγομένη τῶν προπατόρων.

Dominica. **1.** Τὰ κατὰ τὸν μακάριον Ἀβραὰμ ἀπὸ τῆς βίβλου τῆς γενέσεως [1], τῷ θεσπεσίῳ [2] ἱστορηθείσης Μωσεῖ, καὶ σοφοὶ καὶ ἰδιῶται γινώσκοντες, εἰς ἐπήκοον γὰρ κατὰ τὰς νηστευσίμους ἀναγινώσκομεν ἡμέρας — οὐκ ἀγνοοῦμεν, ὅτι ἐκ τῆς Χαλδαίων χώρας ὁρμᾶται καὶ ὅτι ἐθνικὸς (ἔθνος γὰρ πρὸ τῶν Ἰουδαίων οἱ Χαλδαῖοι) καὶ ὅτι πατέρα εἰδωλολάτρην ἐστὶν ὑπογραφόμενος [3]· ἀλλ' ὅμως καὶ ἀπὸ τοιούτου τὸ γένος κατάγων οὐδὲν ἔσχε κώλυμα πρὸς θεογνωσίαν. Ἀλλ' εἴ τι δεῖ καὶ παράδοξον εἰπεῖν, ἐντεῦθεν πρὸς τὴν τοῦ ὄντος κατάληψιν [4] μᾶλλον ἐχειραγωγήθη. Κατανοήσας γάρ, ὡς οὐδὲν τῶν κτισμάτων Θεός, καὶ τὴν εὐταξίαν τῶν ὄντων συνιδών, ἐκ τῶν ὁρωμένων τὸν ἀόρατον ἔγνω καὶ Θεὸν τοῦτον προσεκύνησε διακρατοῦντα καὶ κυβερνῶντα τὰ πάντα καὶ τοῖς οὖσι τὴν φαινομένην εὔκοσμον τάξιν | ἐπιτιθέντα. Ὃς καὶ χρηματισθεὶς καὶ τὴν οἰκείαν καταλιπεῖν [5] κελευσθεὶς τοῦτο δὴ καὶ ποιεῖ μηδὲν τῇ πίστει διακριθείς· καὶ γέρας τῆς ὑπακοῆς ἐν βαθεῖ [6] γήρᾳ υἱὸν τὸν Ἰσαὰκ γεννῆσαι λαμβάνει καὶ τὸ πολλῶν ἐθνῶν γενέσθαι πατέρα. Ἐξ αὐτοῦ γὰρ τὸν Ἰακὼβ καὶ f. 108v.

— [10] καταλάτεται S. — [11] Θεοφανῶ S. — [12] ῥακίοις ἔνδοθεν Sa. — [13] τοῖς S. — [14] φαντάσιασιν S, Sa, φαντάσματα Kurtz. — [15] προῆλθεν Sa. — [16] Sa, κειμένης S, *corr.* ...οις *supra lin.* — [17] Sa, χριστὸν S. — [18] καὶ ἐλαφρὸν *add.* Sa. — [19] προσέγνω Sa. — [20] *om.* S, Sa, *supplet* Kurtz.

1. — [1] γεννέσεως S. — [2] τῷ θεσπεσίῳ *om.* Sa. — [3] ἐπιγραφόμενος Sa. — [4] Sa, κάλυψιν S. — [5] καὶ *add.* S. — [6] βαθὺ S.

Dec. 16. Βάκχου (Dec. 15²). — 3 : Πρόβου, Ταράχου καὶ Ἱλαρίωνος καὶ τῆς συνοδίας αὐτῶν. — 4 : Μέμνονος ἀρχιεπισκόπου Ἱεροσολύμων καὶ Συμεῶνος Ἀντιόχου. — 1. — **Cb** : Σωσάννης. — **Cc** : Σωσάννης. — **Cd** : Σωσάννης. — 2. 4 (Μέμνονος ἀρχιεπισκόπου Ἱεροσολύμων καὶ Συμεῶνος Ἀντιοχείας). — **M** : 1. 2. 3 (... Ἱλάριος). — 4. 6. 5. 7. — **Mv** : 1. 2. 3. 4 (Μοδέστου solius). — 5. 7. — **Mb** : 1. 2. 3 (Πρόκλου καὶ Ἱ.). — 6. 7. — **Mr** : 1.

Dominica. SYNAXARIA SELECTA. Non eodem loco in diversis synaxariis posita est κυριακὴ πρὸ τῆς Χριστοῦ γεννήσεως; in aliis enim post diem 16 decembris (Sa, F, Fa, B, Ba, Bb, T...), in aliis post diem sequentem habetur, vel etiam post 18, 19, 20 eiusdem mensis.

ἀπὸ τούτου τὸν Ἰούδαν, ἀφ' οὗ καὶ ὁ Χριστός, καὶ τοὺς λοιποὺς αὐτοῦ ἀπογόνους κτᾶται· τοσοῦτον γὰρ ὑπῆρχεν ὁ πατριάρχης οὗτος Ἀβραὰμ φιλόθεος, ὡς καὶ προσταχθεὶς παρὰ [7] Θεοῦ θῦσαι τὸν υἱὸν αὐτοῦ τὸν ἀγαπητὸν τὸν Ἰσαάκ, μὴ ἀποσχέσθαι, ἀλλὰ προθύμως ἀπάρξασθαι τοῦ κατασφάξαι αὐτόν· καί γε πάντως τοῦτο ἀπετέλεσεν, εἰ μὴ θεία οὐρανόθεν φωνὴ τοῦτον, ὡς ἴσμεν, διεκώλυσεν, ἀντιδοῦσα κριὸν εἰς ὁλοκάρπωσιν. Τοῦτον ὡς προπάτορα Χριστοῦ γεγονότα μνήμης ἀξιοῦντες, οἱ θεοφόροι πατέρες ἡμῶν καὶ διδάσκαλοι παρέδοσαν ἡμῖν ταύτην ποιεῖν ἐγγύς που καὶ οὐ κατὰ διάστασιν πολλῶν ἡμερῶν τῆς κατὰ σάρκα γεννήσεως τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τάχα κατὰ θείου Πνεύματος ἔμπνευσιν τοῦτο καὶ οὐχ ἁπλῶς διαταξάμενοι καὶ τυπώσαντες. Ἐπεὶ γὰρ ὑπὲρ φιλανθρωπίας ὁ ὑπεράγαθος σωτὴρ καὶ φιλάνθρωπος γενάρχην [8] αὐτὸν καὶ τοὺς ἐξ αὐτοῦ ἔχειν [9] κατηξίωσεν, ἐδικαίωσαν τῆς πρὸς ἡμᾶς αὐτοῦ ἀναδείξεως οὐ πόρρω πάνυ τὴν τούτου μνείαν πανηγύρεως ἄγειν ἡμέραν ὡς γενάρχου τε καὶ προπάτορος. Dominica.

2. Τελεῖται [1] δὲ καὶ [2] τῇ κυριακῇ πρὸ τῆς Χριστοῦ γεννήσεως τοῖς πατράσιν ἡμῶν καὶ ἡ μνήμη τῶν ἁγίων τριῶν παίδων Ἀνανίου, Ἀζαρίου, Μισαὴλ καὶ Δανιὴλ τοῦ προφήτου.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΖ'.

1. Μνήμη τῶν ἁγίων τριῶν παίδων Ἀνανίου, Ἀζαρίου, Μισαὴλ καὶ Δανιὴλ τοῦ προφήτου. Οὗτος ἦν ἐκ φυλῆς Ἰούδα, γένους τῶν ἐξεχόντων τῆς βασιλικῆς ὑπηρεσίας· ἐγεννήθη δὲ ἐν Βηθαρῷ [1] τῇ ἀνωτέρᾳ. Ἀλλ' ἔτι νήπιος ὢν ἤχθη ἐκ τῆς Ἰουδαίων [2] αἰχμαλωσίας [3] εἰς τὴν [4] Χαλδαίων γῆν· καὶ προεφήτευσεν ἔτη ἑβδομήκοντα, προέλαβε δὲ τὴν γέννησιν τοῦ Χριστοῦ ἔτη υξ'. Ἦν δὲ ἀνὴρ σώφρων, ὥστε δοκεῖν τοὺς Ἰουδαίους εἶναι αὐτὸν σπάδοντα [5]. Πολλὰ δὲ ἐπένθησεν ἐπὶ τῆς γῆς καὶ ἐν νηστείαις ἤσκησεν ἀπὸ πάσης τροφῆς ἐπιθυμητῆς· καὶ ἦν ξηρὸς τὴν ἰδέαν ἀλλὰ πάνυ ὡραῖος τῇ χάριτι τοῦ Ὑψίστου. Οἱ δὲ τρεῖς παῖδες, κατὰ τὴν ἱστορίαν, ὑπῆρχον ἐκ τῆς ἁγίας πόλεως Ἱερουσαλήμ, Ἐζεκίου πατρὸς καὶ μητρὸς Καλλιγόνης. Dec. 17.
f. 109. Ὅστις Ἐζεκίας ἐτόλμησεν εἰπεῖν τῷ Θεῷ | φυλάξαι τὰ ἀρεστὰ ἐνώπιον αὐτοῦ· καὶ προσθήκην ἔλαβε τῆς ζωῆς ἔτη ιε'. Τῆς δὲ Ἱερουσαλὴμ ὑπὸ τοῦ βασιλέως Ἀσσυρίων Ναβουχοδονόσορ [6] πολιορκηθείσης, ἀπήχθησαν αἰχμάλωτοι εἰς Βαβυλῶνα μετὰ Δανιὴλ τοῦ προφήτου καὶ καθίστανται ἐπιστάται τῶν πραγμάτων τοῦ βασιλέως διὰ τὴν ἀρετὴν αὐτῶν. Εἶτα ἐξουδενώσαντες τὴν εἰκόνα, ἣν ἔστησε, καὶ μὴ προσκυνήσαντες βάλλονται ἐν τῇ ἐπταπλασίως καυθείσῃ [7] καμίνῳ, ἐν ᾗ τῇ τοῦ θείου ἀγγέλου συγκαταβάσει δροσιζόμενοι ἔψαλλον. Ἔνθα τὸ παράδοξον ἰδὼν ὁ βασιλεὺς ὡμολόγησε μέγαν εἶναι τὸν Θεόν, τὸν ὑπ' αὐτῶν ὑμνούμενον· ἡ γὰρ κάμινος μετεποιήθη εἰς δρόσον καὶ ἔμειναν οἱ ἅγιοι ἀβλαβεῖς. Δανιὴλ δὲ καίτοι συμβιοτεύων αὐτοῖς καὶ συνδιαιτώμενος καὶ τῆς τιμῆς αἴτιος αὐτοῖς γενόμενος, τῇ καμίνῳ οὐ συνεμβάλλεται· οὐδὲ γὰρ τοῦτο ἔστιν μαθεῖν ὑπὸ τῆς γραφῆς ὡς σιωπηθὲν ταύτῃ καὶ μεῖναν [8] ἀπαρασήμαντον, τάχα, ὡς ἐμοὶ δοκεῖ, καὶ [9] τῇ ἀληθείᾳ τῶν εἰκότων λόγων οὐκ ἔξω, διὰ τὸ ἐπιτεθὲν αὐτῷ

— [7] τοῦ *add.* Sa. — [8] *om.* Sa. — [9] ὀχεῖν Sa.

2. — [1] συντελεῖται Sa. — [2] *om.* Sa.

1. — [1] S, Sa, *al.* Βεθόρω, Βεθεβορῶ, Nestle, *pp. 20, 21.* — [2] Ἰουδαίας Sa. — [3] αἰχμάλωτος Sa. — [4] τῶν *add.* Sa. — [5] ἤτοι εὐνοῦχον Sa. — [6] *om.* Sa. — [7] τῷ ... καυθέντι S. — [8] μεῖνας S, Sa — [9] *om.* Sa.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. — **Sb** : 1, mutil. — **H** : 1, des. : Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ. — 2. — **P** : 1. 2. — **Da** : 1 (= Ba). 3. — **Db** : 1. 3. — **F** : 1. 3 (Δουναλέ). — **Fa** : 1. 3 (Δουναλαΐ). — **Fb** : 1. 3 : μνήμη τοῦ ὁσίου ἀειμνήστου ὁμολογητοῦ Δουναλέ, τοῦ ἐν τῷ ἁγίῳ καὶ ἀγγελικῷ σχήματι ἐπονομασθέντος Στεφάνου. Οὗτος ἦρξε τῆς ἑαυτοῦ χώρας πρὸ χρόνων τινῶν· ἔφθασε δὲ καὶ ἕως τῆς εὐσεβοῦς βασιλείας Ῥωμανοῦ καὶ Κωνσταντίνου τῶν πορφυρογεννήτων καὶ χριστιανικωτάτων βασιλέων. Ἦρχε δὲ νήσου τινός, ἣ παρὰ μέν τισι Νιβερτὶς [1] λέγεται, παρ' ἄλλοις δὲ Βερόη, πλησίον οὖσα Γαδείρων [2] καὶ τοῖς Ὠκεανοῦ περικλυζομένη [3] ῥεύμασιν, ἐξ εὐγενοῦς καταγόμενος ῥίζης καὶ χριστιανικωτάτοις δόγμασιν ἀνατραφείς. Ἐν ταύτῃ τῇ νήσῳ τὴν τοῦ ῥηγάτου διέπων ἀξίαν, συνέζευκτο γυναικὶ ὁμοιοτρόπῳ· πρὸς οἷς καὶ πλούτῳ περιρρεόμενος πάντοθεν καὶ δόξης ὑψώμασι μετεωριζόμενος, ἦν μὲν πλούσιος πάνυ κατὰ τὸν μέγαν Ἰώβ, οὐδὲ ταῖς πνευματικαῖς ἀρεταῖς ἀπολιπόμενος. Τοίνυν ἐγγίνεται αὐτῷ θεῖος ἔρως καταλιπεῖν τὸν κόσμον καὶ τὰ ἐν τῷ κόσμῳ καὶ τὰ Ἱεροσόλυμα καταλαβεῖν· ἐσοφίσατο δὲ ταῦτα κρύψαι ἀπὸ τῆς γυναικὸς καὶ τῶν τέκνων, καὶ πλάττεται ἀπολογίαν ἀνύποπτον, ὡς ἐπιθυμίαν ἔχει γενέσθαι ἐν Ῥώμῃ καὶ προσκυνῆσαι τὸν τάφον τῶν ἁγίων καὶ κορυφαίων ἀποστόλων Πέτρου καὶ Παύλου. Αὐτίκα οὖν τὸν ἑαυτοῦ υἱὸν εἰς τὴν ἀρχὴν ἀντ' αὐτοῦ προστησάμενος καὶ πεντήκοντα μόνους τῶν αὐτοῦ οἰκετῶν λαβόμενος, ἐν τῇ Ῥώμῃ ἔρχεται καὶ εἰς γνῶσιν καὶ ὁμιλίαν Ἀγαπητῷ τῷ ἁγιωτάτῳ πάπᾳ καθίσταται· καὶ τὰ τῆς βουλῆς αὐτῷ ἀναθεὶς τὸ ἀγγελικὸν σχῆμα ἠξίου παρ' αὐτοῦ λαβεῖν. Ὁ δὲ οὐχ ὑπήκουεν λόγοις αὐτόν τισι διακωλύων. Ἵνα δὲ τὸν πάπαν ἐκεῖνος πρὸς ὑπακοὴν ἐπισπάσηται, φιλοτίμως δωρεῖται τοῦτον. Τὰ δὲ ἦν δῶρα· χιτῶνες χρυσόστικτοι τρεῖς, δακτύλιοι ε' καὶ αὐτοὶ χρυσοῖ· ὧν τὰς σφενδόνας σμάραγδοι ὑακίνθινοι περιεκόσμουν λίθοι. Ἀλλὰ καὶ τῷ κορυφαίῳ τῶν ἀποστόλων Πέτρῳ ἕτερά τινα ἀναθήματα κάλλιστα παρέσχεν. Ὁ δὲ πάπας ἐπινεύσας τῇ αὐτοῦ αἰτήσει, τὴν κόμην περικείρας καὶ τὸν πώγωνα ξυρίσας, τῷ Dec. 17.

[1] Ἠβερτὶς Fb. — [2] Γαδήρων Fb. — [3] περικλύζειν Fb.

Dec. 17. Βαλτάσαρ ὄνομα, τῆς ὑπερεχούσης τιμῆς γνώρισμα. Ἵνα γὰρ παρὰ τοῖς θεοποιοῦσι τὸ πῦρ κατὰ λογισμῶν τῶν ἑστώτων ἐκμόχλευσιν μὴ τὸ παράδοξον τοῦ θαύματος δόξῃ πεποιηκέναι Βαλτάσαρ[10] ὁ αὐτῶν θεὸς οὕτω καλούμενος, οὐκ οἰκονομεῖται Δανιήλ, τὴν τοῦ Θεοῦ προσηγορίαν λαβών, τὴν πρὸς τὸ πῦρ συνεισέλευσιν· οὔτε μὴν τοῖς περὶ τὴν κάμινον διηγήμασιν ἀναγράφεται. Οἱ δὲ ἅγιοι τρεῖς παῖδες μετὰ τὴν ὑπὲρ νοῦν ἐκ τοῦ πυρὸς σωτηρίαν ἐφ' οἷς εἶχον πάλιν ἀποκαταστάντες καὶ πᾶσαν τὴν ζωὴν ἐπίδοξον διαγαγόντες, ἐν εἰρήνῃ σὺν τῷ Δανιὴλ καὶ αὐτοὶ τελευτῶσιν. Φασὶ δέ τινες, ὅτι μετὰ τὴν τελευτὴν Ναβουχοδονόσορ καὶ τῶν λοιπῶν βασιλέων, οἳ διὰ τιμῆς ἦγον τόν τε Δανιὴλ καὶ τοὺς τρεῖς παῖδας, ἀνέστη βασιλεὺς ἕτερος τοὔνομα Ἀττικός, ὃς τοὺς ἁγίους ἐξετάσας καὶ ἐλεγχθεὶς ὑπ' αὐτῶν, κελεύει τὴν κεφαλὴν Μισαὴλ ἀποτμηθῆναι· οὗτινος Ἀζαρίας, ἁπλώσας τὸ φιβλατόριον, αὐτὴν ἐδέξατο. Ὡσαύτως καὶ Ἀνανίας τὴν κεφαλὴν τμηθεῖσαν Ἀζαρίου ἐνεκολπώσατο. Ἀνανίου δὲ Δανιήλ, τὸ περιβόλαιον ἁπλώσας, ἐδέξατο τὴν κάραν· ὕστερον δὲ καὶ αὐτὸς ἐτμήθη τὴν κεφαλήν. Λέγεται δὲ μετὰ τὴν τομὴν κολληθῆναι τὰς κεφαλὰς τούτων | τοῖς σώμασιν. Ἄγγελος δὲ Κυρίου ἄρας αὐτοὺς ἤγαγεν ἐν τῷ ὄρει Γεβάλ· ἐν ᾧ τεθέντες ὑπὸ τὴν πέτραν ἔτη τετρακόσια, ἐπὶ τῇ ἀναστάσει τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ αὐτοὶ συνανίστανται, καὶ πάλιν κεκοίμηνται. f. 109v.

Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῇ ἁγιωτάτῃ[11] μεγάλῃ ἐκκλησίᾳ· ὧν τὴν μνήμην ἄγειν ὑπὸ τῶν πατέρων ἡμῶν παρελάβομεν πρὸ ἑπτὰ ἡμερῶν τῆς δεσποτικῆς ἐπιφανείας καὶ θείας διὰ σαρκὸς παρουσίας[12] τοῦ κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ τὸ καὶ αὐτούς, οἶμαι, τῆς ἐξ Ἰούδα φυλῆς, ἐξ ἧς καὶ ὁ σωτὴρ πάντων Χριστός, πρὸς γένος κατάγεσθαι.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων[1] Πατερμουθίου, Κόπρη καὶ Ἀλεξάνδρου, μαρτυρησάντων ἐπὶ Ἰουλιανοῦ τοῦ παραβάτου.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου[1] καὶ ἀειμνήστου ὁμολογητοῦ Δοναλέ[2]. Ὃς ἦρξε τῆς ἑαυτοῦ[3] νήσου τινός, ἣ παρὰ μέν τισι Νιβερτὶς[4] λέγεται, παρ' ἄλλοις δὲ Βερόη, πλησίον οὖσα Γαδείρων[5] καὶ τοῖς Ὠκεανοῦ περικλυζομένη[6] ῥεύμασι, πλούτου βάρος περιβεβλημένος πολύ. Χριστιανικωτάτοις δὲ δόγμασιν ἀνατραφεὶς[7] Θεῷ μᾶλλον ἢ ἀνθρώποις ἔζη· διὸ σκύβαλα τὰ[8] πάντα λογισάμενος τὴν βασιλείαν τοῖς υἱέσι καταλιμπάνει καὶ ἐν τῇ Ῥώμῃ γενόμενος, τὸ ἀγγελικὸν ὑποδύεται σχῆμα. Ἔπειτα τὴν περιώνυμον Κωνσταντινούπολιν καταλαμβάνει καὶ Κωνσταντίνῳ καὶ Ῥωμανῷ τοῖς πορφυρογεννήτοις βασιλεῦσιν εἰς ὁμιλίαν ἐλθών, εἰς Ἱεροσόλυμα παρ' αὐτῶν[9] στέλλεται· τοῦτο γὰρ ἦν αὐτοὺς ὁ θαυμάσιος αἰτησάμενος. Ἔνθα γενόμενος καὶ τὸν πόθον ἀφοσιωσάμενος καὶ τὸ μέγα παρὰ τοῦ τηνικαῦτα πατριαρ-

— [10] Βαντάσαρ S. — [11] *om.* Sa. — [12] παρρουσίας S.
2. — [1] μαρτύρων *add.* Sa.
3. — [1] πατρὸς ἡμῶν *add.* Sa. — [2] *al.* Δουναλέ, Δωναλέ, *etc.*, *cf.* Synaxaria selecta. — [3] χώρας *add.* Sa. — [4] Νηβερτὶς Sa. — [5] Γαδήρων S, Sa. — [6] περικλυζόμενος S. — [7] συνανατραφεὶς Sa. — [8] *om.* Sa. — [9] Sa, αὐτοῖν S.

Dec. 17. ἱερῷ τῶν μοναχῶν περιβαλὼν ἐνδύματι, βακώδη[4] τινὰ καὶ τραχύτατα ἐκόσμησεν. Ταῦτα τελέσας ὁ τιμιώτατος ἐκεῖνος ἀνήρ, τοὺς θεράποντας αὐτοῦ πάντας ὑποστρέφειν ἐκέλευσεν εἰς τὰ ἴδια, πέντε μόνους παρ' ἑαυτῷ κατασχών, πολλάς τε παρὰ τοῦ τότε τυραννοῦντος τὴν Ῥώμην Ἀλβερίχου κακώσεις ὑποστὰς καὶ βίᾳ ἀπολυθείς, πρὸς τὴν βασιλεύουσαν τῶν πόλεων ἔρχεται, καὶ Κωνσταντίνῳ καὶ Ῥωμανῷ τοῖς βασιλεῦσι γίνεται γνώριμος καὶ κατάδηλος· οἵτινες τὰ περὶ αὐτοῦ ἀναμαθόντες καὶ τὸ τῆς ἀρετῆς ὕψος θαυμάσαντες, δεξιῶς ὑποδέχονται καὶ ἀδελφικῶς κατησπάζοντο καὶ συνέστιον πολλάκις ποιησάμενοι, πολλὰ αὐτῷ τῶν διαχρύσων καὶ ἀργυρέων σκευῶν παρεῖχον, ἔτι δὲ καὶ χρήματα καὶ χιτώνων ἐναλλαγάς. Ὁ δὲ ταῦτα πάντα ἀπώσατο καὶ οὐκ ἔλαβεν· καὶ τὸ μὲν πρόθυμον αὐτοῦ ἐπῄνει καὶ ἀπεδέχετο· καὶ μακαριστοὺς ἡγεῖτο τοὺς ταῦτα προτεινομένους. Ἀντ' ἄλλου δὲ παντὸς τοῦτο ὑπερησπάζετο τὰ Ἱεροσόλυμα καταλαβεῖν καὶ τοῦ θείου καὶ ζωοδόχου τάφου γενέσθαι προσκυνητής[5]· ὃ καὶ γέγονεν. Συνταξάμενος γὰρ τοῖς βασιλεῦσι καταλαμβάνει τὰ Ἱεροσόλυμα καὶ τοῦ ποθουμένου τυχὼν τὸ μέγα σχῆμα ἀμφιέννυται παρὰ Χριστοδούλου τοῦ ἀρχιερέως, μετονομασθεὶς Στέφανος. Καὶ πάντα ἅγιον τόπον περιελθὼν καὶ προσκυνήσας, εὐχαριστηρίους φωνὰς τῷ Θεῷ ἀνέπεμπεν. Τὸ δὲ ἄθεον καὶ μιαρὸν γένος τῶν Ἀγαρηνῶν ἰδὼν τοῦτον περικεκαρμένον καὶ τὸν πώγωνα ξυρῷ περιῃρημένον, οὐκ ἔστιν εἰπεῖν διὰ γλώσσης ἢ γραφῆς, ὁπόσα εἰς αὐτὸν πεπαρῳνήκασιν· ἅπερ μερικῶς διὰ γραφῆς αὐτοῦ τοῖς εὐσεβέσι βασιλεῦσι γεγράφηκεν. Μετὰ ταῦτα λογισμὸς αὐτῷ ἐπεισῆλθεν πρὸς τὸ κατελθεῖν εἰς Αἴγυπτον καὶ τὸν σεβάσμιον τόπον θεάσασθαι, ἐν ᾧ ἡ Θεοτόκος ηὐλίζετο ἅμα τῷ παιδὶ καὶ Ἰωσήφ. Ἐπεὶ δὲ πρὸς τὴν παράλιον Ταβαρίας ἐγένετο, κρατηθεὶς ἐφρουρήθη μετὰ καὶ τῶν συνεπομένων αὐτῷ δύο ἱερέων· καὶ ἓξ μῆνας ἐγκαρτερήσαντες λιμῷ καὶ δίψει καὶ λοιπῇ κακοπαθείᾳ αὖθις παρὰ τοῦ ἐκεῖσε προεστῶτος παραπέμπονται πρὸς τὸν τῆς Αἰγύπτου ἀμηρᾶν. Ὑφ' οὗ θανατηφόροις δεσμοῖς περιβληθεὶς ὁ θαυμάσιος, ἠναγκάζετο τὸν Χριστὸν ἐξομόσασθαι· στερρῶς δὲ ἀντιπίπτων καὶ μὴ ἡττώμενος, ἀλλ' ὁμολογεῖν παρρησίᾳ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν διαμαρτυρόμενος, πλείοσι καὶ ἀναριθμήτοις αἰκίαις καθυπεβάλλετο. Αἷς προσταλαιπωρήσας, νόσῳ περιπέπτωκεν, δι' ἧς καὶ τὸν τῆδε βίον ἀπέλιπεν, προμηνυθείσης αὐτῷ θεόθεν τῆς τελειώσεως. — **B** : 1. — Δανιὴλ τοῦ προφήτου. — Βάκχου τοῦ νέου (Dec. 15[2]). — **Ba** : 1 : Ἀνανία, Ἀζαρία, Μισαὴλ καὶ Δανιὴλ τοῦ προφήτου. Οὗτοι οἱ τρεῖς παῖδες συναιχμάλωτοι τῷ Δανιὴλ καταχθέντες εἰς τὴν τῶν Ἀσσυρίων ὑπὸ τοῦ τὴν ἱερὰν πόλιν ἑλόντος, μικρὸν ὅσον καὶ ἡγεμόνες καθίστανται διὰ Δανιὴλ τῶν πολιορκησάντων... Des. : μετὰ τέλος ὑπὸ πάντων

— [4] ρακκώδη Fb. — [5] προσκυνητὴν Fb.

χοῦντος Χριστοδούλου ἀμφιεσάμενος[10] σχῆμα, πολλὰς ὕβρεις καὶ μάστιγας παρὰ τοῦ μιαροῦ ἔθνους τῶν Σαρακηνῶν ὑποφέρει διὰ τὸ περικεκάρθαι[11] τὸν πώγωνα. Εἶτα εἰς Αἴγυπτον ἔρχεται· ἐν ᾗ κρατηθεὶς ἐφρουρήθη μετὰ τῶν συνεπομένων αὐτῷ δύο ἱερέων. Καὶ ἓξ μῆνας[12] ἐγκαρτερήσαντες λιμῷ καὶ δίψει καὶ τῇ λοιπῇ κακοπαθείᾳ, αὖθις παρὰ τοῦ κρατήσαντος[13] πρὸς τὸν τῆς Αἰγύπτου ἀμηρᾶν παραπέμπονται· ὑφ' οὗ θανατηφόροις δεσμοῖς περιβληθεὶς ὁ θαυμάσιος ἠναγκάζετο τὸν Χριστὸν ἀρνήσασθαι[14]· στερρῶς δὲ ἀντιπίπτων καὶ μὴ ἡττώμενος, ἀλλ' ὁμολογῶν παρρησίᾳ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, πλείοσι καὶ | ἀναριθμήτοις αἰκίαις καθυποβάλλεται· αἷς καὶ ταλαιπωρήσας νόσῳ περιπέπτωκε, δι' ἧς καὶ τὸν τῆδε βίον ἀπέλιπε, προμηνυθείσης αὐτῷ θεόθεν τῆς τελειώσεως. Dec. 17. f. 110.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΗ'.

1. Ἄθλησις τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων Σεβαστιανοῦ, Τραγκυλίνου, Νικοστράτου, Κλαυδίου, Κάστορος, Τιβουρτίου, Καστούλου[1], Μαρκελλίνου, Μάρκου καὶ Ζωῆς. Ὧν ὁ μὲν Σεβαστιανὸς εἷς τῆς συγκλήτου βουλῆς ὑπῆρχε, ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ, ἐκ πόλεως Μεδιολάνων ὁρμώμενος, πολλοὺς πρὸς τὴν εὐσεβῆ πίστιν ἐνάγων. Μαρκελλῖνος δὲ καὶ Μάρκος οἱ αὐτάδελφοι χρονίαν ὑπομείναντες κάθειρξιν καὶ πολλαῖς βασάνων ἰδέαις ὑποβληθέντες ἐκελεύσθησαν ἀποθανεῖν. Ὁ δὲ τούτων πατὴρ Τραγκυλῖνος ἕλλην ὢν καὶ Μαρκία ἡ μήτηρ παρὰ μικρὸν τοῖς ὀδυρμοῖς ἐκώλυον αὐτοὺς τοῦ διὰ Χριστὸν παθεῖν· τάχα δ' ἂν τοῦτο ἐγεγόνει, εἰ μὴ Σεβαστιανὸς ὁ ἀοίδιμος παρρησιασάμενος οὐ μόνον αὐτοὺς ἐστερέωσεν, ἀλλὰ καὶ Τραγκυλῖνον[2] πρὸς τὴν εἰς Χριστὸν ἐπεσπάσατο πίστιν· καὶ αὐτὸς Τραγκυλῖνος τὸν ὕπαρχον πιστεύσαντα κατήχησε. Αὐτίκα γοῦν[3] ὁ ὕπαρχος προσκαλεσάμενος τὸν ἐνδοξότατον καὶ μακάριον Σεβαστιανὸν καὶ Πολύκαρπον τὸν πρεσβύτερον, ἡξίου σωτηρίας τυχεῖν καὶ τῆς κατεχούσης αὐτὸν νόσου ἀπαλλαγῆναι· ἧς καὶ ἀπηλλάγη πιστεύσας ὁλοψύχως καὶ τὰ ἐν τῷ οἴκῳ εἴδωλα συντρίψας καὶ βαπτισθείς. Ὁ δὲ μακάριος Γάϊος ὁ ἐπίσκοπος τὸν μὲν[4] Μαρκελλῖνον καὶ Μάρκον τοὺς αὐταδέλφους τῷ τῶν διακόνων τάγματι ἐγκαταλέγει· τὸν δὲ τούτων πατέρα τῷ τῶν πρεσβυτέρων, τὸν δὲ μακάριον Σεβαστιανὸν ἔκδικον τῆς ἐκκλησίας καθίστησι. Κινηθέντος δὲ τοῦ διωγμοῦ, σὺν τούτοις Νικόστρατος, Κλαύδιος, Κάστωρ, Τιβούρτιος, Κάστουλος καὶ Ζωὴ ἐπεὶ κατεσχέθησαν, διαφόροις ἐξετασθέντες βασάνοις, τὸ πέρας τοῦ βίου δέχονται. Ὁ δὲ ἅγιος Σεβαστιανὸς μετακληθεὶς παρὰ τοῦ Διοκλητιανοῦ καὶ ἐρωτηθείς, βέλεσι πυκνοῖς οἷα σκοπὸς[5] κατατιτρώσκεται καὶ ῥοπάλοις τὸ σῶμα καταθραύεται καὶ εἰς μέρη κατατμηθεὶς τὸ πνεῦμα τῷ Θεῷ παρατίθεται. Dec. 18. f. 110v.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Εὐβιώτου. Ὃς ὑπῆρχεν ἐπὶ Μαξιμιανοῦ ὁρμώμενος ἀπὸ χωρίου λεγομένου Πω|κετοῦς, τελοῦντος ἐν τῷ θέματι Ὀψικίου. Ἐκεῖσε καὶ γεννηθεὶς καὶ τραφεὶς καὶ τὸ τέλος ἀπενεγκάμενος, ἐν τούτῳ τῷ χωρίῳ θεαρέστως βιοὺς καὶ πᾶσαν τὴν κατὰ Θεὸν ἀρετὴν μετελθὼν πολλὰ ὑπὸ τῶν ἑλλήνων δεινὰ ὑπέμεινεν, ἀγόμενος καὶ περιαγόμενος, δεσμούμε-

— [10] ἀμφιασάμενος Sa. — [11] Sa, περὶ κεκάθαρθαι S. — [12] μῆνας ἓξ Sa. — [13] κρατοῦντος Sa. — [14] ἐξομόσασθαι Sa.
1. — [1] Καστούλλου S. — [2] Τραγγυλῖνον Sa. — [3] οὖν Sa. — [4] *om.* Sa. — [5] Sa, σκοπὸν S.

ἀνθρώπων παρὰ πᾶσαν τὴν καθ' ἡμᾶς οἰκουμένην τιμώμενος ὡς προφήτης ἐξαίρετος. — 3 (= S). — Φλώρου (Dec. 18[3]). — **Bb** : 1. — Δανιήλ. — Βάκχου. — 3 (Δοναλέου). — **T** : 1. — **L** : 1. — **Q** : 1. — **C** : 1. — Δανιήλ. — Θεοφάνους (Dec. 16[7]). — **Cb** : Βάκχου (Dec. 15[2]). — Ἀγγαίου (Dec. 16[1]). — **Cc** : Μαρίνου (Dec. 16[2]). — Βάκχου (Dec. 15[2]). — Πρόβου, Ταράχου καὶ Ἱλαρίωνος (Dec. 16[3]). — Μέμνονος ἀρχιεπισκόπου Ἱεροσολύμων καὶ Συμεῶνος Ἀντιοχείας[6] (cf. Dec. 16[4]). — Ἀγγαίου (Dec. 16[1]). — 1. Sequitur Κυριακὴ πρὸ τῆς Χριστοῦ γεννήσεως μνήμη τῶν ἁγίων πατέρων ἡμῶν Ἀβραάμ, Ἰσαὰκ καὶ Ἰακὼβ καὶ Δαβὶδ τοῦ προφήτου. — **Cd** : 1. — Δανιήλ. — **M** : 1. 2. 3. — **Mv** : 1. 2. 3 (Δουναλέ). — Βάκχου[7] — **Mb** : 1. 2. 3 (Δουναλέ). Sequitur Κυριακὴ τῶν ἁγίων προπατόρων. — **Mr** : 1. Sequitur Κυριακὴ πρὸ τῆς Χριστοῦ γεννήσεως. Dec. 17.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. 6. 7. 8. — **Sb** : 1. 2. — Πρόβου, Ἀρέως καὶ Ἠλία (Dec. 19[2]). — Τιμοθέου καὶ Πολυεύκτου (Dec. 19[3]). — Εὐτυχίου καὶ Θεσσαλονίκης (Dec. 19[3]). — Ἀθήνου, Βονιφατίου καὶ Ἑρμολάου. — **H** : 3. 4. 7. — **P** : 3. 4. 7. — **Da** : 1. 2 (= Ba). 3. 8. — **Db** : 1. 2. 3. 8. — Βονιφατίου (Dec. 19[1]). — **F** : 1. 2. 3. 4. 7. — **Fa** : Ἀθηνοδώρου (Dec. 7[3]). — 1 (= Ba). 2. 3. 4. 7. — **B** : 3. — **Ba** : 1 : Σεβαστιανοῦ, Τραγκυλίνου, Νικοστράτου, Κλαυδίου, Κάστορος, Τιβουρτίου, Καστούλου[1], Μαρκελλίνου, Μάρκου καὶ Ζωῆς. Ὧν ὁ μὲν Σεβαστιανὸς ὑπῆρχε τῷ γένει περίβλεπτος καὶ τῆς συγκλήτου πρῶτος ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ, ἐκ πόλεως Μεδιολάνων ὁρμώμενος. Οὗτος τὸν τῆς πίστεως διδαχθεὶς λόγον, ἀλείπτης ἐγένετο τοῖς τότε χριστιανοῖς καὶ τὰ τῶν βασιλέων τιμᾶν ὑποκρινόμενος καὶ τοῖς ἐν δεσμωτηρίοις χριστιανοῖς παραμυθούμενος οὐ διέλιπε. Μαρκελλῖνος δὲ[2] καὶ Μάρκος αὐτάδελφοι χρονίαν ὑπομείναντες κάθειρξιν διὰ τὴν εἰς Χριστὸν ἀγάπην καὶ πολλαῖς βασάνων ἰδέαις ὑποβληθέντες, ἐκελεύσθησαν ἀποθανεῖν. Ὁ δὲ τούτων πατὴρ Τραγκυλῖνος[3] καὶ Μαρκία ἡ μήτηρ θρήνοις καὶ κοπετοῖς ὀδυρόμενοι παρὰ μικρὸν ἐκώλυον αὐτοὺς τοῦ διὰ Χριστὸν παθεῖν, ἕλληνες ὑπάρχοντες. Τοῦτο γνοὺς ὁ μακάριος Σεβαστιανὸς καὶ δείσας, μήπως τῆς πίστεως ἀπορραγῶσιν οἱ ὁμολογηταὶ καὶ ἐκπέσωσι τῆς εὐθείας ὁδοῦ, ῥίψας τὸ προσωπεῖον Dec. 17. Dec. 18.

— [6] Ἀντιόχου Cc. — [7] Ἰάκχου Mv.
[1] Καστούλλου Ba. — [2] τε Ba. — [3] Τραγγυλῖνος Ba.

Dec. 18. νός τε καὶ μαστιζόμενος, διὰ τὸ καθ' ἑκάστην ἐκτελεῖν αὐτὸν μέγιστα τεράστια καὶ πολλοὺς ἐπιστρέφειν ἐπὶ τὸν Κύριον. Οὗτος μιᾷ τῶν ἡμερῶν ξύλοις συντριβεὶς ὑπὸ τῶν ἑλλήνων καὶ λίθοις, εἰς πῦρ ἡκοντίσθη· καὶ διαμείνας ἀσινὴς πολλοὺς ὑπερθαυμάσαντας τὸ γεγονὸς ἐπεσπάσατο πρὸς τὴν εἰς Χριστὸν πίστιν· οἳ καὶ ἐβαπτίσθησαν ἐν τῇ ἐκεῖσε ἐκκλησίᾳ, ἣν ἐνεκαίνισαν Παῦλος καὶ Σίλας οἱ ἀπόστολοι ἀνερχόμενοι ἐπὶ Τρωάδα[1]. Ταῦτα μαθὼν Λεόντιος, ὁ τῆς Κυζίκου ἡγεμών, ἤγαγεν αὐτὸν δέσμιον ἐν τῇ εἰρημένῃ πόλει. Ὃς ἀχθεὶς τύπτεται εὐθὺς λίθῳ[2] στόμα τε καὶ[3] παρειὰς καὶ σιαγόνας, καὶ ξύλῳ ἀναρτηθεὶς[4] μάστιξι[5] καταξαίνεται. Εἶτα θηρίοις ἐκδίδοται καὶ τούτοις ἄψαυστος διαμείνας τῇ εἱρκτῇ ἐναπορρίπτεται. Διὸ προσῆλθον πολλοὶ τῇ εἰς Χριστὸν πίστει δι' αὐτὸν καὶ ἐβαπτίσθησαν. Ὁ δὲ τύραννος ἐκέλευσε τοῖς μονομάχοις κατασφάξαι αὐτόν· οὗτοι δὲ σκότους καὶ ζόφου ἐπιπεσόντος αὐτοῖς ἀλλήλους κατέσφαξαν. Ὁ δὲ μάρτυς ἀβλαβὴς διαμείνας τῇ φρουρᾷ ἐναπετέθη. Μετὰ δὲ εἰκοστὴν δευτέραν ἡμέραν[6] τῆς κατακλείσεως αὐτοῦ, ἠκούσθη θεόπεμπτος ἀγγελία ἀνιέναι διαγορεύουσα[7] τὸν μέγαν[8] Κωνσταντῖνον ἀπὸ τῶν ἑσπερίων καὶ πόλεμον μετὰ τοῦ τυράννου συγκροτῆσαι· ὃς φοβηθεὶς πάντας τοὺς ἐν δεσμοῖς ἐκέλευσεν ἀπολυθῆναι. Μεθ' ὧν καὶ ὁ πολύαθλος ἀφεθεὶς τῶν δεσμῶν Εὐβίωτος ἦλθεν ἐν τῷ κελλίῳ αὐτοῦ, ἐπιβιοὺς πρὸς τοῖς προτέροις καὶ ἕτερα πέντε ἔτη· καὶ πολλὰ ἕτερα θαύματα ἐργασάμενος ἐν εἰρήνῃ τῷ Θεῷ τὸ πνεῦμα παρέθετο.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις[1] πατρὸς ἡμῶν Φλώρου. Οὗτος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Ἰουστίνου τοῦ νέου καὶ Τιβερίου καὶ Μαυρικίου ἐν Κωνσταντινουπόλει, ὁμωνύμου αὐτοῦ[2] Φλώρου πατρὸς καὶ μητρὸς Εὐφημίας· γέγονε δὲ πάσης παιδεύσεως ἔμπειρος, τῆς τε ἑλληνικῆς καὶ τῆς ἐν ταῖς θείαις καὶ ἱεραῖς[3] γραφαῖς. Καὶ πρῶτον μὲν ἐν τοῖς[4] ὑπογραφεῦσι τῶν βασιλέων | τελεῖ, εἶτα f. 111.
τὴν τῶν πατρικίων ἀνάγεται τάξιν. Γυναῖκα δὲ γήμας καὶ παίδων πατὴρ γεγονὼς καὶ τούτους παρανάλωμα τῆς λοιμικῆς καταστάντας νόσου ἰδών, αὐτὸς τὸν μοναδικὸν βίον μετῆλθε, ἔν τινι τῶν αὐτοῦ κτημάτων ἐν τῷ Ἀνάπλῳ προκαθεσθείς· εἶτα διὰ τὴν προσοῦσαν αὐτῷ ἀρετὴν ἐπίσκοπος προχειρίζεται Ἀμισοῦ. Ἐν αὐτῇ δὲ γενόμενος καὶ καλῶς τὸ πιστευθὲν αὐτῷ ποίμνιον ὁδηγήσας καὶ θαυματουργίας πλείστας πεποιηκὼς πρὸς Κύριον ἐκδημεῖ.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Φωκᾶ καὶ Ἑρμύλου[1].

5. Καὶ τῶν ἁγίων ἱερομαρτύρων Ζακχαίου διακόνου καὶ Ἀλφαίου ἀναγνώστου, ἀθλησάντων ἐν Καισαρείᾳ.

6. Καὶ μνήμη τῆς ἁγίας καὶ θαυματουργοῦ Σοφίας.

7. Καὶ τὰ ἐγκαίνια τοῦ σεβασμίου οἴκου τῆς ἀχράντου δεσποίνης ἡμῶν[1] Θεοτόκου τῶν Χαλκοπρατείων.

8. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Μιχαὴλ τοῦ συγκέλλου καὶ ὁμολογητοῦ. Οὗτος ὑπῆρχεν ἐκ τῆς ἁγίας πόλεως Ἱερουσαλήμ,

2. — [1] Τροάδα S. — [2] λίθοις τὸ Sa. — [3] τὰς *add.* Sa. — [4] ἀναρτᾶται καὶ Sa. — [5] μάστιγῃ Sa. — [6] εἰκοστῆς δευτέρας ἡμέρας S, Sa. — [7] ἀγορεύουσα Sa. — [8] μέγα S.
3. — [1] τοῦ ὁσίου Sa. — [2] αὐτῶ Sa. — [3] καὶ ἱεραῖς *om.* Sa. — [4] ταῖς Sa.
4. — [1] Ἑρμήλου S.
7. — [1] *om.* Sa.

Dec. 18. καὶ παρρησιασάμενος ἤλειφεν αὐτοὺς πρὸς τοὺς ἀγῶνας· ὅτε τὸ οὐράνιον καὶ γλυκύτατον φῶς αὐτοὺς περιήστραψε καὶ πολλοὺς πρὸς τὴν πίστιν προσήνεγκε. Καὶ ὁ τούτων δὲ πατὴρ Τραγκυλῖνος πιστεύσας τὸν ὕπαρχον κατήχησεν. Αὐτίκα οὖν ὁ ὕπαρχος προσκαλεσάμενος τὸν ἐνδοξότατον καὶ μακάριον Σεβαστιανὸν καὶ Πολύκαρπον τὸν πρεσβύτερον, ἠξίου σωτηρίας τυχεῖν καὶ τῆς κατεχούσης αὐτὸν νόσου ἀπαλλαγῆναι. Ἦν γὰρ ἅπαν τὸ σῶμα αὐτοῦ εἰς ὄγκους πεπυρωμένον· ὅθεν καὶ ἀκίνητος ἦν. Ἐπεὶ δὲ πληροφορίαν ἐδέξατο παρὰ τῶν ἁγίων εἰρηκότων αὐτῷ ὅτι· « Εἰ ὁλοψύχως πιστεύσεις, καὶ τῆς » νόσου ἀπαλλαγήσῃ καὶ αἰωνίως βασιλεύσεις, » παραυτὰ τὰ ἐν τῷ οἴκῳ αὐτοῦ ἱστάμενα εἴδωλα συνέτριψε καὶ μεγάλῃ τῇ βοῇ ἀνέκραξε· « Πιστεύω σοι, Κύριε, τῷ ὑπὸ τῶν σῶν δούλων κηρυσσομένῳ. » Καὶ αὐτίκα τῆς νόσου ἀπαλλαγεὶς ὁ πρὶν ἀκίνητος δίκην ἐλάφου ἥλατο, καὶ βαπτισθεὶς πᾶσαν τὴν περιουσίαν αὐτοῦ τοῖς πτωχοῖς διένειμεν, ἐλευθερίᾳ τοὺς οἰκέτας τιμήσας. Ὁ δὲ μακάριος Γαΐος ὁ ἐπίσκοπος τὸν μὲν Μαρκελλῖνον[4] καὶ Μάρκον τοὺς αὐταδέλφους τῷ τῶν πρεσβυτέρων ἐγκαταλέγει τάγματι· τὸν δὲ περίδοξον Σεβαστιανὸν ἔκδικον τῆς ἐκκλησίας καταστήσας[5], σὺν αὐτοῖς διέτριβε νηστείαις καὶ δεήσεσι προσκαρτερῶν καὶ τὸν τοῦ μαρτυρίου καιρὸν ἐκδεχόμενος. Πολλοὶ δὲ τότε νόσοις ποικίλαις ἐξεταζόμενοι, ἀφικνούμενοι πρὸς αὐτοὺς ἐθεραπεύοντο καὶ θαύματα ἐτελεῖτο παράδοξα. Τότε καὶ ἡ μακαρία καὶ τρισόλβιος[6] Ζωὴ ἐν τῷ τοῦ ἀποστόλου Πέτρου σηκῷ προσευχομένη συλληφθεῖσα καὶ μήτε βρώσεως ἢ πόσεως μετασχοῦσα ἐξάγεται· καὶ μετὰ πολλὰς ἐρωτήσεις καὶ κολάσεις μὴ πεισθεῖσα, ἐπί τινος δένδρου ὑψηλοῦ ἀναρτᾶται καὶ καπνῷ δυσώδει καὶ πνιγηρῷ ὑποκαπνισθεῖσα τὸ πνεῦμα ἀφίησιν. Εἶτα λίθῳ προσδεθεῖσα ἐν τῷ τοῦ ποταμοῦ Τιβέρεως ἀκοντίζεται ῥείθρῳ· καὶ οὕτως ἐτελειώθη. Τοῦτο μαθὼν ὁ Τραγκυλῖνος[3] καὶ ταχὺ τοῦ δεσμωτηρίου ἐξελθὼν καὶ ἐν τῇ τοῦ ἁγίου Παύλου σορῷ γενόμενος, αὖθις συλλαμβάνεται καὶ λιθόλευστος γενόμενος καὶ αὐτὸς τῷ τοῦ ποταμοῦ ῥείθρῳ ἐκδίδοται. Νικόστρατος δὲ καὶ Κλαύδιος καὶ Κάστωρ[7] παρὰ τὰς ὄχθας τοῦ ποταμοῦ ζητοῦντες τὸ λείψανον τοῦ μακαρίου Τραγκυλίνου ἐφωράθησαν· καὶ κρατηθέντες θαλαττίοις ἐκδίδονται[8] κύμασιν. Τιβούρτιος δὲ γυμνοῖς τοῖς ποσὶ τῶν ἀνθράκων ἐπιβῆναι κελευσθεὶς καὶ τοῦ

— [4] Μαρκελῖνον Ba — [5] καταστάσας Bə. — [6] τοιβόλβιος Ba. — [7] Κάστορ Ba. — [8] ἐκδίδοται Ba.

εὐσεβῶν γονέων υἱὸς χρηματίσας. Παιδευθεὶς οὖν ἄκρως[1] τὴν[2] ἑλλήνων σοφίαν καὶ τὴν ἡμετέραν ἐκμελετήσας, καλῶς τὸν μονήρη βίον ὑποδύεται, τελευτήσαντος ἤδη τοῦ πατρός. Τῆς δὲ μητρὸς καὶ τῶν αὐτῆς θυγατέρων ἔν τινι μοναστηρίῳ ἀποκειραμένων[3], καλῶς δὲ[4] καὶ θεοφιλῶς ὁ μέγας Μιχαὴλ πολιτευόμενος καὶ σκληραγωγίᾳ ἑαυτὸν καθυποβαλὼν[5] πάσῃ, τῆς τοῦ πρεσβυτέρου χειροτονίας ἀξιοῦται. Ἔπειτα σπήλαιον ἥσυχον ἐπεισέρχεται, ἐν ᾧ Θεόδωρος καὶ Θεοφάνης οἱ ὁμολογηταὶ καὶ φιλόσοφοι πρὸς αὐτὸν ἐφοίτησαν. Εἶτα ὁ μὲν μακάριος Μιχαὴλ σύγκελλος παρὰ τοῦ Ἱεροσολύμων[6] ἀρχιεπισκόπου καθίσταται, οἱ δὲ θεῖοι αὐτάδελφοι Θεόδωρος καὶ Θεοφάνης ἱερεῖς καὶ λειτουργοί. Καί ποτε πράγματος ἀναγκαίου ἕνεκα παρὰ τοῦ προεστῶτος Ἱεροσολύμων εἰς τὴν Ῥώμην στέλλονται, δοῦναί τε καί τινας λιβέλλους κατὰ πάροδον συνοδικοὺς[7] τῷ τε βασιλεῖ Λέοντι τῷ Ἀρμένῃ[8] καὶ εἰκονομάχῳ καὶ Θεοδότῳ τῷ τότε τῆς Κωνσταντινουπόλεως πατριαρχοῦντι[9]. Οὗτοι τοίνυν οἱ τρεῖς ὅσιοι τῷ ἀποστείλαντι πειθόμενοι τοὺς λιβέλλους ἐπιδεδώκασι, πολλὰ οὖν[10] καὶ αὐτοὶ δογματικὰ προτείναντες τοῖς ἀντιλέγουσι ῥήματα· διὰ τοῦτο τὸν μὲν Θεόδωρον καὶ Θεοφάνην ὑπερορίᾳ καταδικάζει ὁ τύραννος, τὸν δὲ μακάριον Μιχαὴλ σὺν τῷ ἀδελφῷ Ἰωὰβ τῷ πραιτωρίῳ | ἐνέκλεισεν. Ἐκεῖθέν τε παρὰ Μιχαὴλ τοῦ f. 111v.
Τραυλοῦ ἀλύσεις βαρείας κατὰ τοῦ τραχήλου δεξάμενος, ἔν τινι μοναστηρίῳ[11] Πλουσιάδος ἅμα τῷ μαθητῇ ἐκπέμπεται, καὶ αὖθις παρὰ Θεοφίλου ἐν σκοτεινῇ καὶ δυσώδει[12] εἱρκτῇ ἀποτίθεται. Ὅθεν ἐκ τῆς πολλῆς κακώσεως ἐπίχυσιν τοῖς ὀφθαλμοῖς καὶ κύρτωσιν τῷ λοιπῷ σώματι παθών, ἀκίνητος ὁ ἀδάμας τοῦ λοιποῦ διέμεινεν. Ἐπεὶ δὲ Θεοδώρα καὶ Μιχαὴλ τὴν βασιλείαν διεδέξαντο καὶ τὰ τῶν ἁγίων ἐκτυπώματα πᾶς τις ἐτίμα παρρησίᾳ καὶ οἱ ἐν ἐξορίαις[13] ἀνεκαλοῦντο καὶ[14] τιμῆς οὐ τῆς τυχούσης ἠξιοῦντο, τὸ τῆς πατριαρχείας ἀξίωμα καὶ ὁ μέγας οὗτος ὁμολογητὴς παρὰ τῆς βασιλίσσης ἠξιοῦτο καταδέξασθαι. Ἐπεὶ δὲ[15] μὴ εἶξε, πατριάρχης μὲν Μεθόδιος ὁ ἀοίδιμος προχειρίζεται· αὐτὸς δὲ αὖθις σύγκελλος[16] τιμᾶται καὶ τὴν μεγίστην μονὴν τῆς Χώρας εἰς ἰδίαν ἐξουσίαν καὶ ἀνάπαυσιν δέχεται. Εὐσεβῶς δὲ καὶ θαρέστως τὸν ἐπίλοιπον χρόνον βιώσας καὶ ὑγδοήκοντα[17] πέντε χρόνων γενόμενος, κατὰ τὴν ιη' τοῦ δεκεμβρίου[18] μηνὸς ἐν εἰρήνῃ πρὸς τὸν Θεὸν μεθίσταται.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΘ'.

1. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Βονιφατίου. Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ· δοῦλος δὲ ὑπῆρχε γυναικός τινος ὀνόματι Ἀγλαΐδος, θυγατρὸς[1] Ἀκακίου τοῦ ἀνθυπάτου Ῥώμης· συνεφθείρετο δὲ τῇ κυρίᾳ αὐτοῦ εἰς σωματικὴν μίξιν. Ἦν δὲ μέθυσος, ἀλλ' ἐλεήμων, ὁμοίως καὶ ἡ Ἀγλαΐς καὶ ἐλεήμων καὶ φιλόμαρτυς. Ἐν μιᾷ οὖν τῶν ἡμερῶν εἶπε τῷ Βονιφατίῳ· « Εἰ ἤθελες, εἶχες Dec. 19.

8. — [1] ἀκριβῶς Sa. — [2] τῶν *add.* Sa. — [3] ἀποκειραμένης Sa. — [4] οὖν Sa. — [5] καθυποβάλλων Sa. — [6] ἐν Ἱεροσολύμοις Sa. — [7] συνοδικὴν S. — [8] Ἀρμενίῳ Sa. — [9] πατριαρχοῦντος S. — [10] *om.* Sa. — [11] τῶν μοναστηρίων Sa. — [12] Ζοφώδει Sa. — [13] ἐξορία Sa. — [14] τῆς *add.* Sa. — [15] δὴ Sa. — [16] σύγγελος Sa. — [17] ἑβδομήκοντα Sa. — [18] δεκεβρίου Sa.
1. — [1] θυγατέρας S.

πυρὸς ὑπεράνω γενόμενος, τὴν διὰ τοῦ ξίφους δέχεται τιμωρίαν. Κάστουλος δὲ ὁ διαιτάριος τοῦ βασι- Dec. 18.
λικοῦ οἴκου καὶ αὐτὸς συλληφθεὶς καὶ πολλαῖς βασάνοις προσπαλαίσας, εἶτα λάκκῳ ζοφώδει ἐναπορριφεὶς ἐκεῖσε τελευτᾷ τὸν βίον. Μαρκελλῖνος δὲ καὶ Μάρκος οἱ γενναῖοι συλληφθέντες πάλιν καὶ τοὺς πόδας ἥλοις διαπαρέντες, ἐπὶ τοσοῦτον ἵστασθαι ἐκελεύσθησαν, ἕως ἐπιθύσωσι. Μὴ πεισθέντες δέ, λόγχῃ τὰς πλευρὰς διατρηθέντες, ἀφῆκαν τὸ πνεῦμα. Σεβαστιανὸς δὲ ὁ μεγαλόφρων τελευταῖος ταῖς βασάνοις τηρηθεὶς εὐκλεῶς τὸν στέφανον ἀποφέρεται. Μετακαλεῖται γὰρ ὑπὸ τοῦ Διοκλητιανοῦ καὶ ἐρωτᾶται. Ὡς δὲ ὑπὸ τῶν λόγων αὐτοῦ κατεβροντήθη ὁ τύραννος, αἰσχυνθεὶς ἵστησιν αὐτὸν ἐν πεδίῳ οἷα σκοπόν· καὶ τοῖς βέλεσιν ὁ ἅγιος βάλλεται, νιφάσι τῇ πυκνότητι παρισωμένοις. Ὅθεν λογισάμενοι αὐτὸν τεθνάναι οἱ βάλλοντες, ἀφῆκαν[9] ἐρριμμένον. Ἐπεὶ δὲ πάλιν ὑπὸ τῆς θείας χάριτος ὑγιασθεὶς ἐν τοῖς ζῶσιν ἦν, πάλιν καταθραυσθεὶς τὸ σῶμα καὶ εἰς μέρη κατατμηθεὶς τὸ πνεῦμα τῷ Θεῷ παρατίθησι. — 2 : Εὐβιώτου. Ὃς ὑπῆρχεν ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ, θέματος Ὀψικίου. Οὗτος ὁ ἅγιος τὸν ἐνάρετον βίον μετερχόμενος καὶ πολλὰ καθεκάστην ἐκτελῶν θαύματα... Des. : ἀπολύεται τῶν δεσμῶν ὁ ἅγιος μάρτυς Εὐβίωτος καὶ ἐλθὼν ἐν τῷ κελλίῳ αὐτοῦ, καὶ πολλὰ ἕτερα θαύματα ἐργασάμενος ἐν εἰρήνῃ πρὸς Κύριον διαβαίνει. — 8 (= S). — **Bb** : 3. 2. — Πρόμου[10], Ἄρεως καὶ Ἠλία (Dec. 19[2]). — **T** : 1. — **L** : 1. 3. — Βονιφατίου. — 7. — **Q** : 1. 2. — **C** : 3. 4. — Πρόβου, Ἄρεως καὶ Ἠλία. — Τιμοθέου, Πολυεύκτου (Dec. 19[3]). — Εὐτυχίου καὶ Θεσσαλονίκης (Dec. 19[4]). — Βονιφατίου καὶ Ἑρμολάου. — **Cb** : Ἀβραάμ, Ἰσαὰκ καὶ Ἰακώβ. — Τῶν ἁγίων τριῶν παίδων (Dec. 17[1]). — Δανιήλ. — **Cc** : Ἀνανία, Ἀζαρία, Μισαήλ. — Δανιήλ. — Θεοφανοῦς τῆς βασιλίσσης (Dec. 16[7]). — **Cd** : Βάκχου (Dec. 15[2]). — **M** : 1. 2. 3. 4. 5. 6. 7. 8. — Μοδέστου (Dec. 16[4], Oct. 19[5]). — **Mv** : 1. 2. 3. 4. 5. 6. 7. 8. — Μοδέστου. — **Mb** : 1. — Μοδέστου. — 2. 3. 4. 5. 6. 7. 8. — **Mr** : 1.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. — **Sb** : 1. — Ἀθηνοδώρου (Dec. 7[3]). — 5 (... οὗτος ἦν Dec. 19.
ὁ ἅγιος ὁ διαλεχθεὶς μετὰ τοῦ Ἐρβὰκ ἀλλ' ἐκεῖ Γρηγόριος λέγεται). — **H** : 2. 3. 4. — Βονιφαντίου καὶ Ἑρμολάου. — **P** : 2. 3. 4. — Βονιφατίου καὶ Ἑρμολάου. — **Da** : 1 (= F). — Ἀθηνοδώρου. — 5 (= Ba). 2. 3. 4. — Καὶ Ἀθήνου, Βονιφατίου καὶ Ἑρμολάου. — **Db** : Ἀθηνοδώρου. — 5. 3. 2. 4. — Βονι-

— [9] ἀφῆκεν Ba. — [10] Τρόμου Bb.

Dec. 19. » ἀπελθεῖν εἰς τὴν ἀνατολήν, ὅπου μαρτυροῦσιν οἱ » ἅγιοι, καὶ κομίσαι λείψανα αὐτῶν, ἵνα ἔχωμεν[2] » αὐτὰ εἰς βοήθειαν καὶ ψυχικὴν σωτηρίαν. » Ὁ δὲ Βονιφάτιος γελῶν εἶπε· « Ἐὰν φέρω τὸ ἐμὸν » λείψανον, τί; » Ἡ δὲ γελάσασα καὶ μέθυσον αὐτὸν εἰποῦσα, ἀπέστειλε. Καὶ ἀπελθὼν μετὰ δούλων δώδεκα καὶ χρυσοῦ[3] πολλοῦ εἰς Κιλικίαν, ὅπου ἐβασανίζοντο οἱ ἅγιοι, ἔστη ἔμπροσθεν τοῦ ἡγεμόνος καὶ ὡμολόγησεν ἑαυτὸν χριστιανόν, καὶ βασανισθεὶς πολλὰ ἀπεκεφαλίσθη. Λαβόντες δὲ οἱ σύνδουλοι αὐτοῦ τὸ λείψανον αὐτοῦ, ἀπεκόμισαν τῇ κυρίᾳ αὐτῶν[4]. Ἡ δὲ μετὰ[5] χαρᾶς δεξαμένη κατέθετο ἐν τῷ οἴκῳ αὐτῆς, κτίσασα ἐκκλησίαν
f. 112. ἐπὶ τῷ ὀνόματι | αὐτοῦ· κἀκείνη ἔκτοτε ὁσίως καὶ θεαρέστως πολιτευσαμένη ἐν εἰρήνῃ τὸ πνεῦμα ἀπέθετο.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Πρόμου[1], Ἄρεως[2] καὶ Ἠλία. Οὗτοι ἐξ Αἰγύπτου ὑπῆρχον, ἦσαν δὲ χριστιανοί· θεραπείας δὲ ἕνεκεν τῶν κατὰ τὴν Κιλικίαν ὁμολογητῶν ἐποιοῦντο τὴν πορείαν. Ἐν δὲ τῷ Ἀσκάλωνι γενόμενοι, συνελήφθησαν καὶ προσήχθησαν τῷ δικαστῇ Φιρμιλιανῷ· καὶ χριστιανοὺς ἑαυτοὺς ὁμολογήσαντες, ὁ μὲν Ἄρης διὰ πυρὸς ἐτελειώθη, Πρόμος δὲ καὶ Ἠλίας σιδήρῳ τὰς κεφαλὰς ἀπετμήθησαν. Οὗς καὶ ἐγκωμίοις ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Ἰωάννης ὁ Χρυσόστομος ἐτίμησε. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου μάρτυρος Φιλήμονος[3] ἐν τῷ Στρατηγίῳ.

3. <Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Τιμοθέου καὶ Πολυεύκτου. Τούτων ὁ μὲν ἅγιος Τιμόθεος κατασχεθεὶς καὶ ὁμολογήσας τὸ ὄνομα τοῦ Χριστοῦ, μετὰ πολλὰς αἰκίας διὰ πυρὸς τελειοῦται ἐν Μαυριτανίᾳ. Ὁ δὲ Πολύευκτος διαφόροις βασάνοις καὶ αὐτὸς ἐξετασθεὶς ἐν Καισαρείᾳ εἰς πῦρ ἐμβληθεὶς τὸ τέλος ἐδέξατο[1].>

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Εὐτυχίου καὶ Θεσσαλονίκης καὶ τῶν[1] σὺν αὐτοῖς ἀνδρῶν διακοσίων καὶ γυναικῶν ἑβδομήκοντα.

5. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Γρηγεντίου. Ὃς ὥρμητο ἐκ πόλεως Μεδιολάνων· γεννήτορες δὲ αὐτῷ Ἀγάπιος καὶ Θεοδότη. Οὗτος ὥσπερ[1] γῆ ἀγαθὴ θεῖα σπέρματα δεξαμένη, ἐωρᾶτο καρπὸν[2] φυῆναι καλόν. Ὅθεν καὶ εἰς μέτρον ἡλικίας πεφθακώς, ἀκροατὴς καὶ πληρωτὴς καὶ ἐξηγητὴς τῶν θείων ἐντολῶν τοῦ Χριστοῦ ἀναδείκνυται καὶ θείῳ νεύματι τὴν τοῦ διακόνου χειροτονίαν δέχεται, νηστείᾳ[3] καὶ τῇ λοιπῇ σκληραγωγίᾳ ἑαυτὸν καθυποβαλών· καὶ ἀπὸ τῆς ἡμέρας ἐκείνης τοῦ θείου Πνεύματος τὴν χάριν δεξάμενος σημεῖα καὶ τέρατα ἐπετέλει. Μετὰ τοῦτο πάλιν γίνεται κατὰ Μεδιόλανα καὶ εὑρών τινα γέροντα σημειοφόρον εἰς τόπον ἀνακεχωρημένον, μυεῖται παρ' αὐτοῦ πάντα τὰ μέλλοντα αὐτῷ ἀπαντᾶν· ᾧ καὶ ἐς ὕστερον ὁ μέγας ἀπόστολος Πέτρος ὀφθαλμοφανῶς τὰ αὐτὰ ὑπηγόρευσε, προσθεὶς καὶ τὰ λείποντα. Ἐπεὶ οὖν συνέβη[4] τὸν τῶν Αἰθιόπων βασιλέα Ἐλεσβὰν γράψαι[5] Προτερίῳ τῷ[6] πάπᾳ Ἀλεξανδρείας περὶ ἐπισκόπου καὶ μάλιστα τελείου, Ἰουστίνου τότε τὴν τῶν Ῥωμαίων βασιλείαν ἰθύνοντος, ἐπὶ τοῦτο ἠνιᾶτο καὶ ἐδυσφόρει πρὸς τὸ ἐπιτυχεῖν ἀνδρὸς τοιούτου. Ἐν αὐταῖς οὖν ταῖς ἡμέραις διὰ θείας ἀποκαλύψεως φανεὶς αὐτῷ ὁ μακάριος ἀπόστολος[7] Μάρκος ὑπέδειξεν αὐτῷ τὸν ζητούμενον | ὑπὸ θείας προνοίας νεωστὶ τὸν f. 112v.

— [2] ἔχομεν S. — [3] χρυσίου Sa. — [4] αὐτοῦ Sa. — [5] μεταὶ S.
2. — [1] Πρόμου S, Ba, Πρόβου Sa, C; *cf.* Violet, Die Palästinischen Märtyrer, *p. 142.* — [2] Ἄρεος Sa. — [3] Φηλίμονος S.
3. — [1] (τῇ αὐτῇ - ἐδέξατο) *om.* S, *desumpsi ex* Sa; *cf.* Synaxaria selecta.
4. — [1] *om.* Sa.
5. — [1] τις *add.* Sa. — [2] μέλλων *add.* Sa. — [3] δὲ *add.* Sa. — [4] γράψαι *add.* Sa. — [5] *om.* Sa. — [6] ἁγιωτάτῳ *add.* Sa. — [7] καὶ εὐαγγελιστὴς *add.* Sa.

Dec. 19. φατίου καὶ Ἑρμολάου. — **F** : 1 : Βονιφατίου[1]. Ὃς ἦν ἐπὶ Διοκλητιανοῦ βασιλέως ἐν Ῥώμῃ συγκλητικῆς τινος ὀνόματι Ἀγλαΐδος, θυγατρὸς ἀνθυπάτου Ἀκακίου, οἰκέτης... Des. : Ἡ δὲ κυρία αὐτοῦ Ἀγλαΐς δι' ἀγγέλου ἀποκαλυφθεῖσα ἅπαντα, προϋπαντήσασα ἐκήδευσεν αὐτὸν μεγαλοπρεπῶς πρὸ πεντήκοντα σταδίων τῆς πόλεως, ἀνεγείρασα αὐτῷ οἶκον εὐκτήριον· μετετέθη δὲ ὕστερον μέσον[2] τῆς πόλεως ἐν ναῷ μεγαλοπρεπεῖ, ἔνθα καθ' ἑκάστην πηγὰς ἰαμάτων προχέει. — 3. 4. — Βονιφαντίου καὶ Ἑρμολάου. — 5. — **Fa** : 1. 3. 4. — Βονιφαντίου καὶ Ἑρμολάου. — 5. — **B** : 2. 3. — **Ba** : 1 (= F). — Ἀθηνοδώρου (Dec. 7[3]). — 5 : Γρηγεντίου. Οὗτος ὥρμητο ἐκ πόλεως Μεδιολάνων γεννητόρων Ἀγαπίου καὶ Θεοδότης. Οὗτος εἰς μέτρον ἡλικίας ἐλθὼν καὶ τὴν χειροτονίαν τοῦ διακόνου δεξάμενος... Des. : οὕτως καλῶς τὸ ποίμνιον αὐτοῦ διαποιμάνας καὶ πολλὰ θαύματα εἰς δόξαν Θεοῦ ἐπιτελέσας ἐν εἰρήνῃ ἐτελειώθη. — 2. 3. 4. — Βονιφατίου καὶ Ἑρμολάου. — **Bb** : 3. — Μιχαὴλ συγκέλλου (Dec. 18[3]). — Ἀθηνοδώρου. — **T** : 1. Sequitur Κυριακὴ τῶν ἁγίων πατέρων πρὸ τῆς Χριστοῦ γεννήσεως. — **L** : Ἀθηνοδώρου. — 1. — **Q** : 1. Sequitur Κυριακὴ πρὸ τῆς γεννήσεως. — **C** : deest. — **Cb** : Φλώρου[3] (Dec. 18[3]). — 2. — Εὐδοξίας, Ῥωμίλλου, Πρεποσίτου, Ζήνωνος, Μακαρίου καὶ τῶν λοιπῶν. — Φαύστου ... Τιμοθέου. — **Cc** : Φλώρου. — Φωκᾶ καὶ Ἑρμύλου[4] (Dec. 18[4]). — 2. 3. 4. — Βονιφατίου καὶ Ἑρμολάου. — Δοναλέ (Dec. 17[3]). — **Cd** : Φλώρου. — Φωκᾶ καὶ Ἑρμύλου. — 2. 3 : Τιμοθέου. Οὗτος ὁ ἅγιος Τιμόθεος ὁ διάκονος ὑπῆρχεν ἐν Μαυριτανίᾳ, παρὰ τοῦ ἐκεῖσε ἐπισκόπου χειροτονηθεὶς διάκονος τῆς ἐν τῇ χώρᾳ ἐκείνῃ ἐκκλησίας. Διδάσκων δὲ τὸν λαὸν τὰ περὶ τοῦ Χριστοῦ καὶ τὴν τῶν οὐρανῶν βασιλείαν ὑποτιθέμενος καὶ πολλοὺς βαπτίζων, ἐκρατήθη παρὰ τοῦ ἐκεῖσε ἡγεμόνος εἰδωλολάτρου ὄντος· καὶ διαφόρως τιμωρηθεὶς καὶ λιμοκτονηθεὶς καὶ μὴ πεισθεὶς θῦσαι τοῖς ἀκαθάρτοις δαίμοσιν, τέλος ἐξαφθείσης[5] πυρᾶς μεγάλης, ἐκεῖσε ἐμβάλλεται, ἔνθα καὶ τὸ πνεῦμα παρέθετο τῷ Κυρίῳ. —

[1] Βονιφαντίου F. — [2] μέσω F. — [3] Φλόρου Cb. — [4] Ἑρμύλλου Cc. — [5] ἐξαυθείσης Cd.

τόπον καταλαβόντα καὶ παρά τινος ἐπιξενούμενον. Ὃν καὶ μετὰ πολλῆς περιχαρείας λαβόμενος καὶ χειροτονήσας περιλαμφθέντα σημείοις εὐθέως παρέπεμψε, γράμμασιν αὐτὸν ἐφοδιάσας καὶ λοιποῖς τοῖς τοῖς ἀρχιερεῦσιν ἀνήκουσιν. Ὃν ὁ βασιλεὺς ἀποδεξάμενος καὶ ἐκ τῶν γραμμάτων βεβαιωθεὶς τοῦ πάπα κατασπάζεται καὶ ὡς ἀπόστολον καὶ σημειοφόρον ἀπολαμβάνει, καὶ τῷ Θεῷ εὐχαριστήσας πᾶσαν τὴν ὑπ' αὐτὸν ἐξουσίαν παρέθετο. Ὁ δὲ πρεσβυτέρους καὶ διακόνους χειροτονήσας καὶ τὰς νεωστὶ νεουργηθείσας εἰς τὴν εὐδαίμονα Ἀραβίαν, πρώην σχέδον παντὸς τοῦ ἔθνους ἰουδαΐζοντος, παρὰ τοῦ βασιλέως ἐκκλησίας καθαγιάσας, πολλοὺς τῶν Ἰουδαίων ἐβάπτισε. Μετὰ δὲ ταῦτα τοὺς[8] τῶν Ἰουδαίων πρώτους καὶ διδασκάλους ἀπό τε συλλογισμῶν καὶ γραφῶν ἀποδείξεσι[9] πείσας καὶ θαύμασιν ἐκπλήξας πάντας προσήγαγε τῇ ἀληθινῇ πίστει, νόμους ἐκθέμενος καὶ πᾶν ἀρέσκον Θεῷ διαπραξάμενος. Οὕτως[10] καλῶς τὸ ποίμνιον αὐτοῦ ποιμάνας καὶ πολλὰ θαύματα εἰς δόξαν Θεοῦ ἐπιτελέσας, ἐν εἰρήνῃ ἐτελειώθη πρὸς βαθὺ[11] γῆρας καταντήσας[12]. Dec. 19.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Κ'.

1. Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Ἰγνατίου ἐπισκόπου Ἀντιοχείας τῆς Συρίας, τοῦ θεοφόρου. Οὗτος ἦν διάδοχος τῶν ἀποστόλων τῆς[1] Ἀντιοχέων ἐκκλησίας, δεύτερος μετὰ Εὔοδον πατριάρχης καταστάς, μαθητὴς γεγονὼς Ἰωάννου τοῦ θεολόγου ἅμα Πολυκάρπῳ ἐπισκόπῳ τῆς Σμυρναίων ἐκκλησίας. Προσήχθη δὲ Τραϊανῷ τῷ βασιλεῖ <ἀπερχομένῳ[2]> ἐπὶ Πάρθους, καὶ πολλὰ αὐτῷ διαλεχθεὶς καὶ τὸ ἀμετάθετον τῆς εἰς Χριστὸν αὐτοῦ πίστεως γνωρίσας τῷ βασιλεῖ, ἀπεστάλη[3] δεδεμένος ὑπὸ δέκα στρατιωτῶν ἐν τῇ Ῥώμῃ, θηρίοις γενέσθαι βορά. Στηρίξας οὖν τὰς κατὰ πόλιν ἐκκλησίας, ἐν αἷς διήρχετο[4], εἰς τὴν Ῥώμην ἀχθεὶς προσηύξατο ὑπὸ τῶν θηρίων βρωθῆναι· « Ἵνα, φησίν, ἄρτος γένωμαι καθαρὸς τῷ Θεῷ. » Ὅθεν βληθεὶς εἰς τὸ ἀμφιθέατρον, ὑπὸ τῶν ἀφεθέντων ἐπ' αὐτὸν[5] θηρίων διεσπάσθη, καταλιπόντων μόνα τὰ τραχύτατα τῶν ὀστέων αὐτοῦ, ἃ συλλεγέντα ἀπεκομίσθησαν εἰς Ἀντιόχειαν. Οὗτος δὲ ἦν ὁ μακάριος, ὃν ἔτι νήπιον ὄντα κρα|τῆσαί φασι τὸν δεσπότην Χριστὸν καὶ ἐναγκαλισάμενον[6] εἰπεῖν· « Ἐὰν μή τις ταπεινώσῃ ἑαυτὸν ὡς τὸ » παιδίον τοῦτο, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν » τῶν οὐρανῶν· καὶ ὃς ἐὰν ἕνα τῶν τοιούτων » παίδων δέξηται ἐν τῷ ὀνόματί μου, ἐμὲ δέχεται. » Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ ἁγιωτάτῃ[7] μεγάλῃ ἐκκλησίᾳ. Dec. 20. f. 113. Cf. Matth. 18, 3-5.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων Εὐγενίου καὶ Μακαρίου. Οὗτοι συσχεθέντες καὶ προσαχθέντες Ἰουλιανῷ τῷ παρα-

— [8] πολλοὺς Sa. — [9] γραφικῶν ἀποδείξεων Sa. — [10] οὕτω Sa. — [11] βραχὺ Sa. — [12] ταῖς αὐτῶν πρεσβείαις *add.* Sa.
1. — [1] τῶν *add.* Sa. — [2] Sa, *om.* S. — [3] παρ' αὐτοῦ *add.* Sa. — [4] καὶ νουτεθήσας πάντας ἐμμένειν τῇ πίστει *add.* Sa. — [5] αὐτῷ Sa. — [6] ἐναγκαλισάμενος Sa. — [7] *om.* Sa.

Πολυεύκτου. Οὗτος ὁ ἅγιος μάρτυς Πολύευκτος ὑπῆρχεν ἐν Καισαρείᾳ, τὸν Χριστὸν ὁμολογῶν καὶ τὰ χριστιανοῖς πρέποντα ἔργα διαπραττόμενος καὶ τῷ τρόπῳ τούτῳ πολλοὺς ἀφιστῶν τῆς τῶν μιαρῶν εἰδώλων θρησκείας καὶ πρὸς τὸν τῶν ὅλων Θεὸν ἐπιστρέφων καὶ βαπτίζων φανερῶς τε καὶ ἀφανῶς. Οὕτως δὲ ποιῶν διεβλήθη τῷ τῆς Καισαρείας ἄρχοντι· καὶ κρατηθεὶς καὶ μυρίας τιμωρίας ὑποστάς, καὶ ξέσιν μελῶν καὶ ὀδόντων ἐκρίζωσιν, καὶ μὴ πεισθεὶς θῦσαι τοῖς εἰδώλοις, διὰ πυρὸς τελειοῦται. — 4. — Βονιφατίου καὶ Ἑρμολάου. — **M** : 1. 2. 3. 4. 5. — **Mv** : 1. 2. 3. 4. 5. — Τοῦ ἁγίου μάρτυρος Τρύφωνος. Sequitur Κυριακὴ πρὸ τῆς Χριστοῦ γεννήσεως. — **Mb** : 1. 2. 3. 4. 5. — **Mr** : 1. Dec. 19.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. — **Sb** : 1. 2. 3. — **H** : 1. 2. — Μιχαὴλ συγκέλλου (Dec. 18[3]). — **P** : 1. 2. — Μιχαὴλ τοῦ συγκέλλου. Sequitur Κυριακὴ τῶν ἁγίων πατέρων... Σαββάτῳ πρὸ τῆς Χριστοῦ γεννήσεως... Κυριακὴ πρὸ τῆς Χριστοῦ γεννήσεως μνήμη τῶν ἁγίων πατέρων ἡμῶν Ἀβραάμ, Ἰσαὰκ καὶ Ἰακὼβ καὶ τῶν ἁγίων γ' παίδων Ἀνανία, Ἀζαρία καὶ Μισαὴλ καὶ Δανιὴλ τοῦ προφήτου. — **Da** : 1 (= Ba). 2. 3. — **Db** : 1. 2. 3. — **F** : 1. 2. — Μιχαὴλ τοῦ συγκέλλου. — **Fa** : 1. 2. — Μιχαήλ. — **Fb** : 1. 2. — Μιχαὴλ συγκέλλου τοῦ ὁμολογητοῦ. Οὗτος ὑπῆρχε μὲν γέννημα καὶ θρέμμα τῆς ἁγίας πόλεως Ἱερουσαλήμ. Τριετὴς δὲ γεγονὼς κληρικὸς ὑπὸ τοῦ ἁγιωτάτου πάπα καθίσταται· εἶθ' οὕτως πρὸς τὴν τῶν ἱερῶν γραμμάτων ἐκδίδοται μάθησιν, προκόψας ὥσπερ τῇ ἡλικίᾳ, οὕτω δὴ καὶ σοφίᾳ καὶ ἀρετῇ, σχολάζων ἀεὶ ἐν τοῖς εὐκτηρίοις οἴκοις νηστείᾳ καὶ ἀγρυπνίᾳ καὶ ψαλμῳδίᾳ καὶ ταῖς θείαις ἀναγνώσεσι. Τοῦ δὲ πατρὸς τὸν βίον ἀπολιπόντος, τῆς μητρὸς δὲ μετὰ τῶν ταύτης θυγατέρων ἐν μοναστηρίῳ ἀποκειραμένης, αὐτὸς τὰ καταλειφθέντα χρήματα τοῖς πτωχοῖς διανείμας ἐν τῇ τοῦ ἁγίου Σάβα μονῇ ἀπεκείρατο, τὸν εἰκοστὸν πέμπτον χρόνον ἄγων τῆς ἡλικίας. Καὶ ἦν ἐργαζόμενος καὶ διακονῶν τοῖς ἀδελφοῖς· ἥσθιεν δὲ ἐν ὅλοις δέκα καὶ η' χρόνοις διὰ β' ἢ γ' ἡμερῶν λάχανα ἄνευ ἐλαίου· ἄρτου γὰρ τὸ παράπαν δίχα σαββάτου καὶ κυριακῆς καὶ δεσποτικῶν ἑορτῶν οὐδέπω μετελάμβανεν. Ἐν τούτοις θεαρέστως διαζῶν ἀξιοῦται τῇ τοῦ προεστῶτος κρίσει τῆς τοῦ πρεσβυτέρου χειροτονίας· καὶ μετὰ χρόνους β' ἀπέρχεται ἔν τινι σπηλαίῳ ἡσυχαστικῷ· ὅτε πρὸς αὐτὸν ἐφοίτησαν Θεόδωρος καὶ Θεοφάνης οἱ σπουδαιότατοι καὶ φιλόσοφοι. Ὁ δὲ τῶν Ἱεροσολύμων ἀρχιεπίσκοπος οὐρανόθεν θείαν ἀποκάλυψιν δεξάμενος, προσκαλεσάμενος αὐτούς, ἅμα τὸν μὲν ὅσιον Μιχαὴλ σύγκελλον πεποίηκεν, τοὺς δὲ καλοὺς αὐταδέλφους ἱερεῖς καὶ λειτουργοὺς τῆς ἁγίας Σιὼν κεχειροτόνηκεν. Ὀλίγου δὲ χρόνου διαδραμόντος καὶ ἀναφυείσης τινὸς αἱρέσεως ἐν τῇ πρεσβυτέρᾳ Ῥώμῃ, ἐδέξατο γράμματα παρὰ τῶν Ῥωμαίων ὁ τῆς Dec. 20.

Dec. 20. βάτῃ καὶ ἐλέγξαντες αὐτοῦ τὴν δυσσέβειαν, βασάνοις[1] ἄλλαις[2] καὶ[3] πυρὶ καὶ ἰοβόλοις ἑρπετοῖς ἐκδίδονται. Ἐξ ὧν φυλαχθέντες ἀσινεῖς, δέσμιοι εἰς Μαυριτανίαν πέμπονται, εἰς πόλιν λεγομένην Ἀνθηδόνα· ἣν τῇ ἐπιγνώσει τοῦ Χριστοῦ φωτίσαντες καὶ διάφορα[4] τελέσαντες[5] θαύματα καὶ τὸν ἐν ὄρει λυμαινόμενον δράκοντα[6] τοὺς προσοικοῦντας[7] ἀποκτείναντες[8], ἐν εἰρήνῃ τῷ Κυρίῳ τὰς ἑαυτῶν ψυχὰς ἀπέθεντο[9].

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Φιλογονίου[1] γενομένου ἀπὸ δικολόγου ἐπισκόπου[2] Ἀντιοχείας. Οὗτος ὁ μακάριος ἐκ νηπίου τῇ παιδεύσει τῶν ἱερῶν γραμμάτων ἐκδοθεὶς ἀνάθημα τῷ Θεῷ ἐγένετο. Διὰ πάσης γὰρ διελθὼν παιδεύσεως ὡς μίαν τὴν πᾶσαν[3] κατώρθωσεν· ὅθεν καὶ λαμπρὸν ἐπεδείξατο βίον, καίτοι γυναῖκα ἔχων καὶ θυγατέρα καὶ ἐν δικαστηρίοις στρεφόμενος· καὶ ἀνθρώποις ἐκεῖθεν[4] συνηγορῶν τοῖς ἠδικημένοις καὶ χεῖρα βοηθείας[5] ὀρέγων, οὕτως ὑπὲρ τὸν ἥλιον ἔλαμψεν, ὡς[6] εὐθέως ἐκεῖθεν ταύτης ἄξιος φανῆναι τῆς ἀρχῆς, καὶ ἀπὸ βήματος ἐπὶ βῆμα ἤγετο. Καὶ πρῶτον μὲν ἀνθρώποις συνηγόρει, τοὺς ἀδικουμένους τῶν ἀδικούντων ἰσχυροτέρους ποιῶν· ἔπειτα δὲ τὸ τοῦ Χριστοῦ ποίμνιον ἐνεχειρίσθη. Ὅταν δὲ ἐπὶ τὸν θρόνον τοῦτον ἀνήγετο, πολλὴ[7] ἦν ἡ δυσκολία, ἄρτι τοῦ διωγμοῦ παυσαμένου καὶ τῶν λειψάνων μενόντων τῆς χαλεπωτάτης ζάλης, εἰ καὶ τάχα ἡ τῶν αἱρετικῶν ἐπανάστασις ἐπ' αὐτοῦ τὴν ἀρχὴν λαβοῦσα, ὑπὸ τῆς ἐκείνου σοφίας ἐνεκόπτετό τε καὶ κατελύετο, καθὼς καὶ ὁ τίμιος[8] Χρυσόστομος ἐγκωμίοις αὐτὸν τιμῶν πλατύτερον τὰ περὶ αὐτοῦ ἐφιλοσόφησεν. Οὕτως[9] θεαρέστως ποιμάνας τὸ πιστευθὲν[10] αὐτῷ ποίμνιον καὶ ἀγγελικῶς ἐπὶ γῆς βιώσας καὶ διαπρέψας τῇ ἀρχιερωσύνῃ, πρὸς Κύριον ἐξεδήμησεν.

2. — [1] διαφόροις *add.* Sa. — [2] πρότερον δοκιμασθέντες *add.* Sa. — [3] ἔπειτα Sa. — [4] πολλὰ Sa. — [5] ἐν ταύτῃ *add.* Sa. — [6] *om.* Sa. — [7] προσηκούντας S. — [8] δράκοντα *add.* Sa. — [9] παρέθεντο Sa.
3. — [1] Φιλογόνου S, Sa. — [2] Sa, ἐπίσκοπος S. — [3] τὰς πάσας Sa. — [4] ἐκεῖσε Sa. — [5] βοηθὸν Sa. — [6] Sa, καὶ S. — [7] πολὺ S. — [8] θεῖος Sa. — [9] οὗτος S, Sa. — [10] πιστωθὲν Sa.

Dec. 20. ἁγίας πόλεως προεστὼς τοῦ ἀποστεῖλαί τινας δυναμένους τὰ ἐκεῖσε ἀμφισβητούμενα διαλύσασθαι. Ἐπεὶ δὲ Λέων ἐβασίλευσεν ὁ Ἀρμένιος, ὁ τὰ σκῆπτρα τῆς Ῥωμαίων ἀναξίως ἰθύνων καὶ τὰς ἁγίας εἰκόνας ἐκ τῶν ἐκκλησιῶν ἀθέως καὶ παρανόμως ἐκέλευσεν ἀφανίζειν καὶ ἀποσπᾶν, ἐκελεύσθησαν καὶ οὗτοι κατὰ πάροδον πρῶτον μὲν τῷ ἀθεωτάτῳ βασιλεῖ ἀναδοῦναι ἃς ἐπεφέροντο ἐπιστολάς, εἶθ' οὕτως καὶ ἐπὶ τὴν Ῥώμην ἀπελθεῖν. Ὡς δὲ ἔφθασαν τὸ Βυζάντιον, τὸν μὲν συνοδικὸν λίβελλον τῷ τυράννῳ ἐπέδωκαν· τὰ δὲ πρὸς τὸν πάπαν γραφέντα βίᾳ ἐξ αὐτῶν οἱ τοῦ τυράννου δυσσεβεῖς ὑπασπισταὶ ἀφελόμενοι καὶ ὡσεὶ κόνιν λεπτὴν ποιήσαντες, εἰς τὸν ἀέρα ἐλίκμησαν· καὶ τύψαντες αὐτοὺς σφόδρα ἐν φυλακῇ ἐναπέθεντο. Ὡς δὲ οὐκ ἐνεδίδουν οἱ ἅγιοι ἀλλὰ καὶ τὸν πατριάρχην Θεόδοτον καὶ τὸν τύραννον ἀθέους καὶ τυράννους καὶ μισαγίους ἀπεκάλουν, τυπτήσας αὐτοὺς πάλιν, τὸν μὲν Θεόδωρον καὶ Θεοφάνην ἐν Ἀφουσίᾳ τῇ νήσῳ ἐξώρισεν, τὸν δὲ μακάριον Μιχαὴλ σὺν τῷ ἀδελφῷ Ἰὼβ ἐν Ζοφερᾷ καὶ ἀφεγγεῖ καμάρᾳ τοῦ πραιτωρίου ἐνέκλεισεν. Τοῦ δὲ θεοστυγοῦς καὶ παρανόμου Λέοντος ἐν τῷ τοῦ Φάρου εὐκτηρίῳ ἤτοι τοῦ Παλατίου μαχαίρας γενομένου παραναλώματος[1], ἀνέστη ἕτερος ἀντ' αὐτοῦ, Μιχαὴλ ὁ Τραυλὸς καὶ Ἀμορραῖος, καὶ αὐτὸς ζηλωτὴς ὑπάρχων διάπυρος τῆς αὐτοῦ αἱρέσεως. Παραυτίκα οὖν ἀλύσεις βαρείας δεξάμενος κατὰ τοῦ τραχήλου ὁ μακάριος Μιχαὴλ ἔν τινι τῶν μοναστηρίων Προυσιάδος ἅμα τῷ μαθητῇ ἐκπέμπεται· ταχὺ δὲ τοῦ ἀσεβοῦς Μιχαὴλ τὴν ζωὴν ἀπορρήξαντος, ἀνέστη ἀντ' αὐτοῦ Θεόφιλος ὁ υἱὸς αὐτοῦ, φρονῶν καὶ πράττων κατὰ πάντα τὰ ὅμοια τῷ πατρί· ὃς ἐκ τῆς ἐξορίας τὸν μακάριον εἰσενεγκὼν ἐν σκοτεινῇ καὶ δυσώδει εἱρκτῇ ἐναπέθετο. Ὅθεν ἐκ τῆς πολλῆς καὶ συνεχοῦς κακώσεως καὶ γήρους βαθυτάτου καὶ χρονίας ταλαιπωρίας ἀκίνητος ἔμεινεν ἔκ τε τῆς ἀμβλυωπίας καὶ κυρτώσεως· τὸν δὲ μακάριον Θεόδωρον καὶ Θεοφάνην τοὺς αὐτοῦ μαθητὰς σφοδραῖς ὁ τύραννος ὑποβαλὼν αἰκίαις ἅπαξ καὶ δὶς καὶ τὰς τούτων ὄψεις ἐγκολάψας[2], σιδήρῳ ἐτιμωρήσατο καὶ ἐν ἐξορίᾳ παρέπεμψεν. Τοῦ δὲ θεομάχου βασιλέως δώδεκα χρόνους κρατήσαντος καὶ τὸ ζῆν ἀπολιπόντος καὶ Θεοδώρας τῆς τούτου γαμετῆς τὴν βασιλείαν διαδεξαμένης, γέγονε χαρὰ καὶ εἰρήνη ἐν ταῖς ἐκκλησίαις. Καὶ οἱ ἐν δεσμοῖς ἀνεκλήθησαν καὶ τὰ τῶν ἁγίων ἐκτυπώματα παρρησίαν ἔλαβον. Ὁ δὲ μέγας ὁμολογητὴς τοῦ Χριστοῦ Μιχαὴλ ἀποδεχθεὶς μεγάλως παρὰ τῆς βασιλίσσης καὶ μὴ θελήσας δέξασθαι τὸ τῆς πατριαρχείας ἀξίωμα, ἀλλὰ τοῦ Μεθοδίου ἀναχθέντος ἐν αὐτῷ, ὁμοίως σύγκελλος τιμᾶται· καὶ τὴν μεγάλην μονὴν τῆς Χώρας εἰς ἰδίαν ἐξουσίαν καὶ ἀνάπαυσιν δέχεται. Εὐσεβῶς δὲ καὶ θεαρέστως τὸν ἐπίλοιπον χρόνον βιώσας καὶ ἐν πε' χρόνῳ γενόμενος, ἐν εἰρήνῃ βαθείᾳ τὸ πνεῦμα αὐτοῦ παρέδωκεν τῷ Θεῷ. — **B** : 1. 2. — Βονιφατίου (Dec. 19[1]). — **Ba** : 1 : Ἰγνατίου ἀρχιεπισκόπου Ἀντιοχείας τῆς μεγάλης. Οὗτος ἦν τῶν ἀποστόλων διάδοχος, δεύτερος μετὰ Εὔοδον πατριάρχης καταστάς... Des. : καὶ διὰ τοῦτο κληθῆναι θεοφόρον. Τοῦτον ὁ τίμιος Ἰωάννης ὁ Χρυσόστομος ἐγκωμίοις ἐτίμησεν. — 2. 3 (= S). — **Bb** : 1. 2. — Βονιφατίου. — **T** : 1. — **L** : 1. — **Q** : 1. 2. — **C** : 1. 2. — Μιχαὴλ συγκέλλου τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν πόλεως τοῦ ὁμολογητοῦ. — **Cb** : 1. 2 (Εὐγενίου καὶ Μάρκου). — **Cc** : 1. 2. — Μιχαήλ. — **Cd** : 1. 2. — Μιχαὴλ συγκέλλου. — Sequitur : Τῇ κυριακῇ πρὸ τῆς Χριστοῦ γεννήσεως μνήμη τῶν ἁγίων πατέρων Ἀβραάμ, Ἰσαὰκ καὶ Ἰακὼβ καὶ τῶν ἁγίων τριῶν παίδων Ἀνανία, Ἀζαρία, Μισαὴλ καὶ Δαβὶδ τοῦ προφήτου. — **M** : 1. 2. 3. — **Mv** : 1. 2. 3. — **Mb** : 1. 2. 3. — Τοῦ ἁγίου μάρτυρος πρεσβυτέρου Τρύφωνος. — **Mr** : 1.

[1] παρανάλωμα Fb. — [2] ... κολαλάψας Fb.

f. 113v.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΑ'.

1. Ἄθλησις τῆς ἁγίας μάρτυρος Ἰουλιανῆς. Αὕτη ὑπῆρχεν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως, ἀπὸ τῆς πόλεως Νικομηδείας. Πλουσίων δὲ ὄντων τῶν γονέων αὐτῆς, ἐμνηστεύθη Ἐλευσίῳ τῷ συγκλητικῷ, ἕλληνι ὄντι· ὅστις ἐβούλετο ποιῆσαι τὸν γάμον. Ἀλλ' ἡ ἁγία οὐ κατεδέξατο, εἰποῦσα πρὸς τοὺς βιάζοντας· « Ἐὰν μὴ γένηται τῆς πόλεως » ἔπαρχος, ἄνδρα αὐτὸν οὐκ ἔχω. » Ἀλλὰ καὶ τούτου γενομένου, πάλιν εἶπεν ὅτι· « Ἐὰν μὴ γένη- » ται χριστιανός, οὐ λαμβάνω αὐτόν. » Ἀκούσας δὲ ταῦτα ὁ πατὴρ αὐτῆς ἐλυπήθη· καὶ κατηνάγκασε μᾶλλον αὐτὴν ἀρνήσασθαι τὸν Χριστὸν καὶ λαβεῖν τὸν ἄνδρα αὐτῆς. Ὡς δὲ οὐκ ἔπεισε[1], τότε παρέδωκε[2] κατὰ τοὺς νόμους εἰς ἐξέτασιν[3] τῷ μνηστῆρι αὐτῆς καὶ ἐπάρχῳ. Ὁ δὲ ἔπαρχος ἔξεσεν ὅλον τὸ σῶμα αὐτῆς καὶ ἀπὸ τῶν τριχῶν ἐκρέμασε καὶ ἐξέδειρε τὸ δέρμα τῆς κεφαλῆς αὐτῆς· εἶτα ἐνέβαλεν εἰς πῦρ· καὶ τέλος ἀπεκεφάλισεν αὐτήν, μετὰ καὶ ἄλλων τῶν δι' αὐτῆς[4] πιστευσάντων. Τελεῖται δὲ ἡ αὐτῆς σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῆς, τῷ ὄντι πλησίον τῆς ἁγίας μάρτυρος Εὐφημίας ἐν τῷ Πετρίῳ. Dec. 21.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Θεμιστοκλέους[1]. Ὃς ἦν ἐπὶ τῆς βασιλείας Δεκίου, ἐκ Μύρων τῆς Λυκίας, ποιμὴν προβάτων ὑπάρχων. Τοῦ οὖν ἄρχοντος διωγμὸν κατὰ τῶν χριστιανῶν κινήσαντος καὶ τοῦ ἁγίου Διοσκορίδου ἐπιζητουμένου, ἐπεὶ πρὸς τὸ ὄρος κατέφυγεν, οἱ ζητοῦντες αὐτὸν εὗρον τὸν Θεμιστοκλέα[2] νέμοντα θρέμματα· καὶ ἀνηρώτων περὶ τοῦ Διοσκορίδου[3]· ὃς ἐκεῖνον μὲν ἀπέκρυψε, μὴ εἰδέναι λέγων ἔνθα ἔστιν, ἑαυτὸν δὲ παρέδωκεν ὁμολογήσας εἶναι χριστιανός. Ἀχθεὶς δὲ καὶ τὸν Χριστὸν κηρύξας ἐνώπιον τοῦ ἄρχοντος Ἀσκληπιοῦ καὶ παρρησιασάμενος, ἐτύφθη κατὰ τοῦ νώτου καὶ τῆς γαστρός, ἕως οὗ διερράγη, καὶ ἐπὶ ξύλου ἐκρεμάσθη. Εἶτα σύρεται ἐπὶ τριβόλων σιδηρῶν, ὑφ' ὧν ὅλον τὸ σῶμα περονούμενος τῷ Θεῷ τὸ πνεῦμα παρέθετο.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΒ'.

1. Ἄθλησις τῆς ἁγίας μάρτυρος Ἀναστασίας τῆς φαρμακολυτρίας καὶ τῶν σὺν αὐτῇ[1] μαρτύρων Χρυσογόνου, Ἀγάπης, Εἰρήνης καὶ Χιονίας, Θεοδότης καὶ τῶν τέκνων | αὐτῆς. Ἡ ἁγία μάρτυς Ἀναστασία ἦν ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως ἐν τῇ Ῥωμαίων πόλει, Πραιτεξτάτου[2] τινὸς οὖσα θυγάτηρ, μητρὸς δὲ Φαύστης· ὑφ' ἧς προσαχθεῖσα Χρυσογόνῳ ἀνδρὶ θεοσεβεῖ, τὰ ἱερὰ γράμματα ἐπαιδεύθη, τὴν δὲ εἰς Χριστὸν πίστιν παρὰ τῆς μητρὸς ἔμαθε. Συνεζεύχθη δὲ ἀνδρὶ ἕλληνι πρὸς κοινωνίαν γάμου, Πουπλίῳ ὀνόματι, καὶ διὰ τὴν ἀπιστίαν αὐτοῦ ἀστόργως τὴν πρὸς αὐτὸν ἔφερεν Dec. 22.

114.

1. — [1] ἔπειθε Sa. — [2] ταύτην *add.* Sa. — [3] καὶ βάσανον *add.* Sa. — [4] διὰ ταύτης Sa.
2. — [1] Θεμιστοκλεούς S. — [2] Θεμιστοκλεὰ S. — [3] Διωσκορίδου S.
1. — [1] ἁγίων *add.* Sa. — [2] Πραιπεξάτου S, Sa.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. — **Sb** : 1. 2. — **H** : 1. 2. — Εὐβιώτου, Πολυεύκτου ἰατροῦ Καισαρέως. — **P** : 1. 2. — Εὐβιώτου, Πολυεύκτου ἰατροῦ Καισαρέως. — **Da** : 1. 2. — **Db** : 1. 2. — **F** : 1 : Ἰουλιανῆς. Αὕτη ἦν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως ἐν Νικομηδείᾳ τῇ πόλει, πλουσίων γεννητόρων παῖς ὑπάρχουσα... Des. : τὸ τελευταῖον καὶ αὐτὴν προσέταξε διὰ ξίφους τελειωθῆναι. — 2. — Φιλογονίου (Dec. 20[3]). — **Fa** : 1. 2. — Φιλογονίου. — **B** : 1. 2. — Φιλογονίου. — **Ba** : 1. 2 (= S). — **Bb** : 1. 2. — Φιλογονίου. — **T** : 1. — **L** : 1. — **Q** : 1. 3. — Ἰσιδώρου πρεσβυτέρου καὶ ξενοδόχου τῆς Ἀλεξανδρείας. Οὗτος ὁ ἅγιος μέχρις αὐτῆς τῆς τελευτῆς οὐκ ὀθόνην ἐφόρησεν ἐκτὸς φακιόλου, οὐ λούτρῳ ἐχρήσατο, οὐ τραπέζης... Des. : ὁ κτίσας ὑμᾶς Θεὸς οἰκονομήσει ὑμῶν τὴν ζωὴν ὡς κἀμοῦ· οὕτως οὖν ὁ ὅσιος βιοὺς καὶ οὕτω πολιτευσάμενος πρὸς Κύριον ἐξεδήμησεν. — **C** : 1. 3. — Γρηγεντίου (Dec. 19[1]). — Τιμοθέου καὶ Πολυεύκτου (Dec. 19[3]). — Φιλογονίου. — **Cb** : 1. 2. — **Cc** : 1. 2. — Γρηγεντίου. — Τιμοθέου καὶ Πολυεύκτου. — Φιλογονίου. — **Cd** : 1. 2. — Φιλογονίου (Dec. 20[3]). — Καὶ τῶν ἁγίων μαρτύρων Εὐβιώτου καὶ Πολυεύκτου ἰατροῦ[1]. — **M** : 1. — Οἱ ἅγιοι πεντακόσιοι μάρτυρες οἱ ἐν Νικομηδείᾳ ξ. τ. — Αἱ ἅγιαι ἑκατὸν τριάκοντα γυναῖκες αἱ ἐν Νικομηδείᾳ ξ. τ. — 2. — **Mv** : 1. — Οἱ ἅγιοι πεντακόσιοι μάρτυρες. — Αἱ ἅγιαι ἑκατὸν τριάκοντα γυναῖκες. — 2. — **Mb** : 1. 2. — Τῶν ἁγίων φ' μαρτύρων. — Τῶν ἁγίων ρλ' μαρτύρων. — **Mr** : 1. Dec. 21.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. — **Sb** : 1. 2. — **H** : 1. 2. — **P** : 1. 2. — Χρυσογόνου ἐπάρχου Σαλονίκης καὶ τῶν ἁγίων μαρτύρων γυναικῶν, Θεοδότης σὺν γ' παιδίοις, Ἀγάπης, Εἰρήνης, Χιονίας. — **Da** : 1 (= Ba). — **Db** : 1. — **F** : 1 : Ἀναστασίας τῆς φαρμακολυτρίας. Ἥτις ἦν ἐπὶ Διοκλητιανοῦ βασιλέως ἐν τῇ Ῥωμαίων πόλει... Des. : τῷ πυρὶ παρεδόθη καὶ τὸν τοῦ μαρτυρίου στέφανον ἀνεδήσατο. — **Fa** : 1. — **B** : 1. 2. — Χρυσογόνου κτλ. — **Ba** : 1 : Ἀναστασίας τῆς φαρμακολυτρίας. Αὕτη ἦν ἐπὶ Διοκλητιανοῦ βασιλέως, Ῥωμαία τῷ γένει, πατρὸς ἕλληνος... Des. : διὰ τοῦ ὑποβληθέντος πυρὸς τελειοῦται καὶ τὸν τοῦ μαρτυρίου κομίζεται στέφανον. — 2. — Χρυσογόνου κτλ. — **Bb** : 1. 2. — Χρυσογόνου κτλ. — **T** : 1. — **L** : 1. — Τὰ ἐγκαίνια τῆς μεγάλης ἐκκλησίας. — **Q** : 1. — Κρονίου. Οὗτος ὁ μακάριος ἐκ βρέφους τὸν Θεὸν ἀγαπήσας καὶ τὸν τοῦ Κυρίου σταυρὸν ἐπ' ὤμων ἀράμενος ἠκολούθησεν αὐτῷ· καὶ τὰς παρατάξεις τῶν ἐναντίων ἐχθρῶν τροπωσάμενος, χαίρων ἐχώρησε πρὸς τὰ ἐπίπονα τῆς ἀσκήσεως. Ταπεινόφρων δὲ εἰς ἄκρον γενόμενος, νεκροὺς ἀνιστὰν αὐτῷ ἐδωρήσατο ὁ Dec. 22.

[1] Ἰητροῦ Cd.

Dec. 22. ὁμιλίαν, νοσεῖν ἀεὶ προφασιζομένη. Καὶ μὴ καταδεχομένη συνέρχεσθαι αὐτῷ εἰς συνάφειαν, μετρίαν δὲ στολὴν καὶ πενιχρὰν ἐνδυομένη περιβολήν, ἀεὶ προσωμίλει γυναιξὶ δεομέναις, καὶ λαθραίως τοὺς διὰ Χριστὸν ἐναθλοῦντας ἐθεράπευε, ἐν ταῖς φυλακαῖς, ἐν αἷς ἦσαν, εἰσιοῦσα καὶ τῶν μολυσμῶν αὐτοὺς ἀπολούουσα[3] καὶ ἐλαίῳ ἀλείφουσα καὶ τοὺς[4] ἰχῶρας αὐτῶν ἀπομάττουσα καὶ τροφὰς ἐπιτηδείας τούτοις παρέχουσα, μιᾶς μόνης θεραπαινίδος συνεπομένης αὐτῇ· ἐπὶ τούτοις πρῶτον μὲν ὑπὸ τοῦ ἀνδρὸς ἐφρουρήθη ἐπιγνόντος τὰ κατ' αὐτήν. Ἐπεὶ[5] δὲ ἐκεῖνος διαποντίῳ κλύδωνι γέγονεν ὑποβρύχιος, ἀδείας αὕτη λαβομένη πάντα αὐτῇ τὰ[6] προσόντα διένειμε τοῖς πτωχοῖς· εἶτα ἀδεέστερον τοὺς ὑπὲρ Χριστοῦ ἐναθλοῦντας ἐθεράπευε καὶ τελειωθέντας συνεκόμιζε καὶ παρεδίδου τῇ ὁσίᾳ ταφῇ· καὶ πολλοὺς πρὸς τὸ μαρτυρεῖν ὑπαλείψασα[7] καὶ διαφόροις ἡγεμόσιν ἐξετασθεῖσα καὶ ἐν θαλάσσῃ μεθ' ἑτέρων γυναικῶν ἀπορριφεῖσα, τὸ τελευταῖον πάλοις προσδεθεῖσα τῷ πυρὶ παρεδόθη καὶ τὸν τοῦ μαρτυρίου στέφανον ἀνεδήσατο[8]. Ὁ δὲ Χρυσόγονος εἰς Νίκαιαν ἀχθεὶς δέσμιος πρὸς Διοκλητιανὸν ἀπεκεφαλίσθη. Τελεῖται δὲ ἡ τῆς μάρτυρος σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῆς, τῷ ὄντι ἐν τοῖς Δομνίνου ἐμβόλοις.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου[1] Καπίτωνος ἐπισκόπου Χερσῶνος. Οὗτος ἀπεστάλη ὑπὸ Θεοδοσίου τοῦ μεγάλου βασιλέως ἐν Χερσῶνι ἐπίσκοπος, τελευτήσαντος Αἰθερίου τοῦ ἐπισκόπου. Καὶ καταλαβὼν τὴν πόλιν, τὴν εἰς Χριστὸν πίστιν ἐξεπαίδευσε τὸν λαόν. Βουλόμενος δὲ τὸν τοῦ Παρθενίου εἰδώλου οὕτω λεγομένου[2] ναὸν καταβαλεῖν καὶ ἀντ' αὐτοῦ ἐπ' ὀνόματι τοῦ κορυφαίου τῶν ἀποστόλων Πέτρου ναὸν ἀ|νεγεῖραι[3] f. 114'.
καὶ ἐπὶ τούτῳ καμίνους εἰς κατασκευὴν ἀσβέστου γενέσθαι προστάξας, εἰς ἀντιλογίαν κατέστη μετὰ τῶν ἀπίστων[4] λεγόντων μὴ δύνασθαι τὸν ναὸν τῶν εἰδώλων καταλῦσαι διὰ τὴν ὑπεροχὴν τῶν θεῶν, καὶ μάτην τὰς καμίνους κατασκευάζειν. Τοῦ δὲ μυκτηρίσαντος τοὺς παρ' αὐτοῖς θεοὺς καὶ εἰπόντος ὡς ἀδύνατοί εἰσιν ἑαυτοῖς βοηθῆσαι, εἰς δοκιμὴν ἡ ἀντιλογία κατέστη. Πίστεις γὰρ τὰς

— [3] *corr.* Sa, *prius* ἀπολύουσα. — [4] *bis scriptum* S. — [5] ἐπειδὴ Sa. — [6] *om.* Sa. — [7] ἀπαλείψασα Sa. — [8] Sa, ἀνεδύσατο S.
2. — [1] ὁσίου Sa. — [2] λεγόμενον Sa. — [3] ἀναγεῖραι Sa. — [4] Ἰουδαίων *add.* Sa.

Dec. 22. τῶν ὅλων Θεὸς καὶ δαίμονας ἀπελαύνειν νόσους τε φυγαδεύειν καὶ πᾶσαν ἄλλην λώβην σώματος ἐκδιώκειν. Ἐπεὶ οὖν ἀγγελικῶς ἐβίωσεν ὁ ἐν σώματι ἄσαρκος καὶ καθὰ προείρηται, τὰς ἐναντίας φάλαγγας τροπωσάμενος πρὸς τὴν ἄϋλον ζωὴν μετετάξατο. — Θεοδούλου. Οὗτος ἐξ αὐτῶν, ὡς εἰπεῖν, τῶν μητρικῶν ἀγκαλῶν τὸν σταυρὸν ἐπ' ὤμων ἀράμενος σπηλαίοις καὶ ὄρεσι καὶ κοιλάσι διητᾶτο, ψύχει τε καὶ παγετῷ καὶ κρύει πηγνύμενος, ὄμβροις ἀερίοις ταλαιπωρῶν, καὶ καθάπερ τις ἄσαρκος τοῖς ὄρεσι διαιτώμενος, διὰ εἴκοσι ἡμερῶν ἢ καὶ τριάκοντα βοτάναις ἀγρίαις ἀρκούμενος καὶ ὕδατι κοτύλης μιᾶς καὶ μόνον ἀπογευόμενος. Οὕτως οὖν ὁ ἰσάγγελος οὗτος βιοὺς καὶ οὕτω πολιτευσάμενος πρὸς Κύριον ἐξεδήμησεν. — **C** : 1. 2. — Χρυσογόνου κτλ. — **Cb** : 1. — Χρυσογόνου. Οὗτος ἦν ἐκ τῆς μεγαλοπόλεως Ῥώμης ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως, ἀνὴρ θεοσεβὴς καὶ φοβούμενος τὸν Θεόν, διδάσκαλος γεγονὼς τῶν τε ἱερῶν γραμμάτων καὶ τῆς πρὸς Θεὸν εὐσεβείας Ἀναστασίας τῆς μεγαλομάρτυρος, Ῥωμαίας καὶ αὐτῆς οὔσης. Διωγμοῦ δὲ κινηθέντος, κρατηθεὶς εἱρκτῇ παραδίδοται. Τότε γράφει πρὸς αὐτὸν ἡ ἁγία μεγαλομάρτυς Ἀναστασία, ἵνα εὔξηται, καὶ εἰ μὲν ἐπιστρέψῃ ὁ μνήστωρ αὐτῆς ἀπὸ τῆς τῶν εἰδώλων θρησκείας ἐπὶ τὸν Κύριον, σωθῇ· εἰ δὲ ἐπιμείνῃ τῇ πλάνῃ, τῆς παρούσης[1] ἀπαλλαγῇ ζωῆς, ἵνα μὴ τὴν περιουσίαν αὐτῆς πολλὴν οὖσαν καταδαπανήσῃ μετὰ ἀσεβῶν καὶ εἰδωλολατρῶν, ἀλλὰ κατακενώσῃ αὐτὴν ἡ ἁγία εἰς τοὺς ἁγίους καὶ πένητας· ὅπερ καὶ γέγονε. Δεξάμενος γὰρ τὴν ἐπιστολὴν αὐτῆς ὁ ἅγιος Χρυσόγονος ἔγραψεν αὐτῇ θαρρεῖν· καὶ μετ' ὀλίγον πρέσβυς[2] ἀποσταλεὶς Πούπλιος[3] ὁ μνηστευσάμενος αὐτὴν πρὸς Περσίδα παρὰ βασιλέως, ναυαγίῳ περιπεσὼν ἀπώλετο. Καὶ τότε ἄδειαν λαβοῦσα ἡ ἁγία, διέδωκε πάντα τὸν πλοῦτον αὐτῆς πτωχοῖς καὶ πενιχρὰν στολὴν ἐνδυσαμένη διηκόνει περιερχομένη ἀδεῶς τοῖς ἁγίοις. Ἦλθε δὲ πρὸς Χρυσόγονον καὶ διηκόνει αὐτῷ. Ὅτε καὶ ὁ Διοκλητιανὸς ἐκέλευσεν, ἐν Νικαίᾳ διάγων, πάντας τοὺς ἐν Ῥώμῃ χριστιανοὺς ἀποθανεῖν, τὸν δὲ Χρυσόγονον πρὸς αὐτὸν ἀχθῆναι δέσμιον, ὡς διαστρέφοντα πολλοὺς τῶν ἑλλήνων ἐξετασθῆναι ὑπ' αὐτοῦ. Ὦ καὶ παραστὰς ὁ Χρυσόγονος καὶ[4] τὴν ἐπαρχότητα λαβεῖν τῆς Ῥώμης, εἰ μόνον θύσειεν, ὡμολόγησεν τὸ ὄνομα τοῦ Κυρίου· καὶ τμηθεὶς τὴν κεφαλήν, ἐρρίφη ἐν τῇ παρακειμένῃ λίμνῃ, ἐν ᾧ κατέμενον αἱ ἅγιαι τρεῖς ἀδελφαὶ Ἀγάπη, Χιονία καὶ Εἰρήνη μετὰ Ζωΐλου τινὸς ἁγίου, ὅστις τὸ λείψανον τοῦ ἁγίου ἀποθέμενος ἐν γλωσσοκόμῳ κατέκρυψεν ἐν τῷ αὐτοῦ οἰκήματι ἐντίμως, εὑρὼν καὶ τὴν κεφαλὴν δι' ἀποκαλύψεως καὶ συναρμόσας τῷ λοιπῷ σώματι. — Ἀγάπης, Εἰρήνης καὶ Χιονίας. Κατὰ τὸν καιρόν, ὅτε Χρυσόγονος ὁ μάρτυς παρὰ Διοκλητιανοῦ διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν τὴν κεφαλὴν ἀπετμήθη πλησίον τῆς λίμνης, ἐν ᾧ κατέμενον αἱ ἅγιαι τρεῖς ἀδελφαὶ μετὰ Ζωΐλου τινὸς δούλου τοῦ Θεοῦ, ἐφάνη ὁ ἅγιος Χρυσόγονος τῷ Ζωΐλῳ κατ' ὄναρ λέγων, ὥστε συγκροτηθῆναι τὰς ἁγίας τρεῖς ἀδελφὰς ὑπὸ τῆς ἁγίας Ἀναστασίας ὡς μελλούσας ἐντὸς ἐννέα ἡμερῶν τελεῖν τὸν ἀγῶνα τοῦ μαρτυρίου. Ταῦτα ἀκούσασα ἡ ἁγία Ἀναστασία, ἠκολούθησε γὰρ ἐκ Ῥώμης τῷ Χρυσογόνῳ, ἐξηγουμένου τοῦ Ζωΐλου, εἰσῆλθεν εἰς τὰς ἁγίας καὶ ἠσπάσατο αὐτὰς καὶ διηκόνει αὐταῖς· εἶτα διαβάλλονται Διοκλητιανῷ Ἀγάπη, Χιονία καὶ Εἰρήνη· αὕτη δὲ ἦν νέα παρὰ τὰς ἄλλας. Κρατηθεῖσαι δὲ καὶ ὁμολογήσασαι τὸ ὄνομα τοῦ Χριστοῦ, ἠκολούθησαν τῷ βασιλεῖ μετὰ τῶν λοιπῶν ἁγίων ἐν Μακεδονίᾳ, καὶ παρεδόθησαν τῷ βασιλεῖ Δουλκιτίῳ τῷ ἄρχοντι τῆς ἐπαρχίας, ὅστις ἔθετο αὐτὰς ἐν φυλακῇ.

[1] παρούση Cb. — [2] πρέσβεις Cb. — [3] Πόπλιος Cb. — [4] *supple v. c.* πληροφορίαν δεξάμενος.

παρ' ἀλλήλων ἔδωκαν ἑαυτοῖς τοῦ[5] τὰς ἀμφοτέρων αἰτήσεις δι' ἀλλήλων γενέσθαι, ἐπικαλεσαμένων τῶν μὲν ἑλλήνων τὰ εἴδωλα, τοῦ δὲ ἐπισκόπου τὸν παρ' αὐτοῦ σεβόμενον Χριστόν. Συνετέθη οὖν, ὡς, εἰ ὁ ἐπίσκοπος εἰσελθὼν εἰς μίαν τῶν καμίνων ἀβλαβὴς ἐξέλθοι καὶ ἄφλεκτος, πιστεῦσαι καὶ αὐτοὺς[6] γενέσθαι χριστιανούς. Ὁ δὲ ἅγιος Καπίτων ἠτήσατο παρατεθῆναι αὐτῷ πλησίον τῆς καμίνου τὰ τέκνα αὐτῶν, καὶ εἰ ἐξέλθοι τῆς φλογὸς ἀβλαβής, ἐμβληθῆναι ταῦτα ἐν αὐτῇ· καὶ προσευξαμένους αὐτοὺς ὑπὲρ αὐτῶν τοῖς εἰδώλοις ἀβλαβῆ φυλαχθῆναι[7] ταῦτα, τοὺς δὲ προθύμως κατανεῦσαι λογισαμένους, ὅτι τοῦ ἐπισκόπου διαφθαρέντος ὑπὸ τοῦ πυρός, αὐτοῖς τε ἔσται τούτου ἀπαλλαγή καὶ τοὺς οἰκείους ἀπολήψονται παῖδας. Ἐπεὶ δὲ ὁ ἅγιος Καπίτων τῆς καμίνου σῶος ἐξῆλθεν, ἐφ' ἱκανὸν ἐν αὐτῇ προσμείνας, ἥ τε τοῦ Χριστοῦ κατὰ τῶν δαιμόνων νίκη τρανῶς ἐκηρύχθη καὶ πάντες ὑπέπεσον καὶ τῇ πίστει προσῆλθον. Καὶ δεηθέντες, παρὰ τοῦ ἐπισκόπου εἰς Χριστὸν ἐβαπτίσθησαν καὶ καθαιρέται τοῦ ναοῦ τῶν εἰδώλων γεγόνασι καὶ τοῖς ἀνοικοδομοῦσι τὴν ἐκκλησίαν τοῦ ἔργου συλλήπτορες. Οὕτως οὖν ὁ ἅγιος τῆς εἰς Χριστὸν κῆρυξ γενόμενος πίστεως καὶ πλείστας θαυματουργίας ἐργασάμενος πρὸς Κύριον ἐξεδήμησεν. Dec. 22.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἑορτάζομεν τὰ ἀνοίξια τῆς μεγάλης ἐκκλησίας.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΓ'.

1. Ἄθλησις τῶν ἁγίων[1] μαρτύρων τῶν ἐν Κρήτῃ. Οὗτοι ἦσαν ἐπὶ Δεκίου τοῦ βασιλέως ἐν τῇ νήσῳ Κρήτῃ[2], οὐκ ἐκ μιᾶς πόλεως, ἀλλ' ἐκ διαφόρων τῆς χώρας μερῶν· ὑπῆρχον γὰρ ἀπὸ μὲν τῆς μητροπόλεως Γορτύνης[3] πέντε, Θεόδουλος, Σατορνῖνος, Εὔπορος, Γελάσιος καὶ Εὐνικιανός[4]· | ἀπὸ δὲ Κνωσσοῦ[5] Ζωτικός, ἀπὸ δὲ τοῦ f. 115.
ἐπινείου[6] Λεοβένης[7] Πόντιος, καὶ ἐκ τοῦ ἐπινείου Dec. 23.

— [5] τοὺς Sa. — [6] *om.* Sa. — [7] διαφυλαχθῆναι Sa.
1. — [1] δέκα *add.* Sa. — [2] (οὗτοι - Κρήτῃ) *om.* Sa. — [3] Γορτίνης Sa. — [4] Εὐνεικιανός S, Sa. — [5] Κνωσοῦ S. — [6] ἐπινείλου Sa. — [7] Λεομένης Sa.

Καὶ τῇ νυκτὶ ψαλλουσῶν αὐτῶν εἰσῆλθε πρὸς αὐτὰς βιάσασθαι θέλων· ἀλλὰ τῶν φρενῶν ἐκστὰς ἀντ' ἐκείνων περιεπλάκη τοῖς μαγειρικοῖς ὀργάνοις, χαλκίοις καὶ χύτραις, καὶ ἀσβολωθεὶς γέλωτα τοῖς πᾶσιν ἐκίνησε. Θυμωθεὶς δὲ παρέστησε τὰς ἁγίας καὶ ἐτιμωρεῖτο αὐτάς, καὶ πάλιν ἔκφρων γίνεται. Τότε ὁ βασιλεὺς παρέδωκεν αὐτὰς Σισιννίῳ τῷ κόμητι ἐξετάσαι αὐτάς. Ὅς τὴν μὲν ἁγίαν Εἰρήνην ἔθετο εἰς φυλακήν, τὴν δὲ Ἀγάπην καὶ Χιονίαν πυρὶ παραδοθείσας[5] ἐτελείωσε· τῇ δὲ ἁγίᾳ Εἰρήνῃ πολλὰ διαλεχθεὶς ὁ κόμης καὶ μὴ πείσας θῦσαι τοῖς εἰδώλοις, προσέταξεν ἐν πορνείῳ ἀπαχθῆναι. Παραλαβόντες δὲ ἀνάρπαστον ἄγγελοι δύο παρέστησαν ἐπὶ τὴν ἀκρώρειαν τοῦ ὄρους. Μαθὼν δὲ ταῦτα ὁ κόμης, ἵππῳ ἐπιβὰς παρέστη. Ἐκείνης δὲ ἑστώσης καὶ προσευχομένης, αὐτὸς οὐχ ἑώρα· ἐπεὶ δὲ ηὔξατο τελειωθῆναι, ἐφάνη ἑνὶ τῶν στρατιωτῶν, ὅστις ἁρμόσας τὸ ξίφος ἔπληξεν αὐτήν· καὶ οὕτω παρέδωκε τὸ πνεῦμα. — Θεοδότης καὶ τῶν τέκνων αὐτῆς. Αὕτη ἀπὸ Βιθυνίας[6] οὖσα ἠνώθη τῇ ἁγίᾳ Ἀναστασίᾳ μετὰ τῶν τέκνων αὐτῆς· ἥντινα Λευκάδιός τις ἄρχων αἰτούμενος πρὸς γάμον οὐκ ἔπεισε, ἀλλ' ἀπατήσασα αὐτὸν μικρὸν ἀναμεῖναι, διέδωκε πάντα τὰ ὑπάρχοντα αὐτῆς πένησι καὶ τοῖς διὰ Χριστὸν ἐγκεκλεισμένοις, καὶ οὕτω διετέλει. Ἀκούσας δὲ ὁ Διοκλητιανός, ὅτι πᾶσαι αἱ φυλακαὶ καὶ τὰ ἐργαστήρια πεπλήρωνται τῶν κατακλείστων χριστιανῶν, ἐκέλευσεν ἐν μιᾷ νυκτὶ φονευθῆναι τοὺς μὲν διὰ πυρός, τοὺς δὲ δι' ὕδατος, τοὺς δὲ διὰ ξίφους. Κρατήσας δὲ Λευκάδιος τὴν ἁγίαν Θεοδότην παρέδωκε Νικητίῳ τῷ ἄρχοντι Βιθυνίας μετὰ τῶν τριῶν <τέκνων[7]> αὐτῆς· ὅστις παραινέσας αὐτῇ πολλὰ ἐλεῆσαι τὰ τέκνα αὐτῆς καὶ θῦσαι τοῖς εἰδώλοις, οὐκ ἔπεισεν, ἀλλ' ὡμολόγησε τὴν ἀληθινὴν εἰς Χριστὸν πίστιν. Ὅθεν προτεθέντων τιμωριῶν ὀργάνων[8], Εὔοδος ὁ πρῶτος υἱὸς κατέπτυσεν αὐτῶν[9] καὶ τὸν ἄρχοντα ἤλεγξε. Διὸ τύπτεται ῥάβδοις, τῆς μητρὸς ἑστώσης καὶ παραινούσης μὴ ἀρνήσασθαι τὸν Χριστόν. Ὀργισθεὶς δὲ ὁ ἡγεμὼν παρέδωκεν αὐτὴν Ὑρτακί τινι ὀνόματι πρὸς τὸ καταπαῖξαι αὐτῇ καὶ ἐν πορνείῳ ἀγαγεῖν· ὅστις <ὡς[7]> ἠβουλήθη ἅψασθαι αὐτῆς, αἷμα κατήγαγεν ἐκ τῶν μυκτήρων πολὺ καὶ ἐβόα ὅτι· « Ὁρῶ ἄνδρα » λευκοφοροῦντα παρεστῶτα αὐτῇ· » ὅτε[10] ἀναφθείσης πυρᾶς μεγάλης, ἐβλήθη ἡ ἁγία ἐν αὐτῇ μετὰ τῶν τριῶν τέκνων αὐτῆς καὶ εὐξαμένη σὺν αὐτοῖς[11] ἐτελειώθη. — **Cc** : 1. 2. — Χρυσογόνου κτλ. — **Cd** : 1. 2. — Χρυσογόνου. — Ἀγάπης, Εἰρήνης καὶ Χιονίας. — Θεοδότης καὶ τῶν τέκνων αὐτῆς. — **M** : 1. — Χρυσογόνου. — Θεοδότης κτλ. — 3. — Τὸ φωτοδρόμιον τῆς τοῦ Θεοῦ ἁγίας ἐκκλησίας. — **Mv** : 1. — Χρυσογόνου. — Τοῦ ἁγίου μάρτυρος Ζωΐλου. — 3 (τὰ θυρανοίξια). — Τὸ φωτοδρόμιον. — **Mb** : 1. 2. 3. — Τὸ φωτοδρόμιον. — Χρυσογόνου κτλ. — Ζωΐλου. — **Mr** : 1. Dec. 22.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. — **Sb** : 1. — **H** : 1. — **P** : 1. 2. — **Da** : 1. — **Db** : 1. — **F** : 1. — Χρυσογόνου ἐπάρχου πόλεως Θεσσαλονίκης (Dec. 22[1]). — Θεοδότης σὺν τρισὶ παιδίοις, Ἀγάπης, Εἰρήνης καὶ Χιονίας. — 2. — **Fa** : 1. — Χρυσογόνου. — Θεοδότης κτλ. — **B** : 1. — **Ba** : 1. — **Bb** : 1. — **T** : 1. — Χρυσογόνου. — Θεοδότης κτλ. — 2. — **L** : 1. — **Q** : 1. — Πιαμοῦν τῆς παρθένου. Αὕτη ἡ μακαρία τὰ τῆς ζωῆς αὐτῆς ἔτη διαμείψασα ἐν νηστείαις κτλ. — **C** : 1. — **Cb** : 1. — **Cc** : 1. — **Cd** : 1. — **M** : 1. — Τοῦ ὁσίου πατρὸς ἡμῶν <Παύλου[1]> ἀρχιεπισκόπου Νεοκαισαρείας, ἑνὸς τῶν τι' καὶ ὀκτὼ ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ. Οὗτος ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Παῦλος περιβόητος ταῖς ἀρεταῖς γέγονεν, ὥστε Dec. 23.

— [5] παραδοθεὶς Cb. — [6] Βηθανίας Cb. — [7] *om.* Cb. — [8] κατήγαγην Cb. — [9] αὐτὴν Cb. — [10] ὅστις Cb. — [11] αὐτῆς Cb.
[1] *om.* M.

Dec. 23. Πανόρμου Ἀγαθόπους· ἐκ δὲ Κυδωνίας [8] Βασιλίδης [9], καὶ ἀπὸ τοῦ Ἡρακλείου [10] Εὐάρεστος. Οὗτοι παρὰ τῶν ἀπίστων τῷ τῆς νήσου ἄρχοντι παρεδόθησαν· ὁ δὲ τῷ δήμῳ ἐπέτρεψεν κατὰ τοὺς βωμοὺς τῶν εἰδώλων περιάγειν αὐτούς, καὶ μὴ θύοντας παντοίως αἰκίζεσθαι. Ἐπὶ δὲ τριάκοντα ἡμέραις ὑπὸ τῶν ἀτάκτων καὶ ὑβριστῶν περιελαυνόμενοι καὶ παιζόμενοι καὶ τυπτόμενοι καὶ λιθολευστούμενοι καὶ κολαφιζόμενοι καὶ ἐμπτυόμενοι καὶ κατὰ τῆς ἐν κοπρίαις ἑλκόμενοι, ὕστερον, προκαθεσθέντος τοῦ δικαστοῦ, ὡς ἀνένδοτον εἶχον τὸ φρόνημα καὶ τὴν πίστιν τὴν εἰς Χριστὸν ἀσφαλῆ, στρεβλωθέντες καὶ δειναῖς ἑτέραις βασάνοις ἐξετασθέντες, τὰς κεφαλὰς ἀπετμήθησαν. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου Στεφάνου, πλησίον τῶν Πλακιδίας [11].

2. Τῇ αὐτῇ ἡμέρᾳ τὰ ἐγκαίνια τῆς τοῦ Θεοῦ μεγάλης ἐκκλησίας.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ. ΚΔ'.

Dec. 24. **1.** Ἄθλησις τῆς ἁγίας ὁσιομάρτυρος Εὐγενίας [1] καὶ τῶν σὺν αὐτῇ. Αὕτη ἐπὶ τῆς βασιλείας Κομόδου [2] ἦν, θυγάτηρ Φιλίππου τοῦ ἐπάρχου Ῥώμης. Τοῦ δὲ πατρὸς αὐτῆς εἰς Ἀλεξάνδρειαν ἀποσταλέντος παρὰ [3] Κομόδου, ἵνα γένηται καὶ ἐκεῖ ἔπαρχος, ἐπεὶ πανοικὶ ἀπῆει, συναπῆλθε καὶ ἡ ἁγία Εὐγενία, καὶ ἐκεῖ ἔμαθε πᾶσαν γραφὴν ἑλληνικὴν καὶ χριστιανικήν. Ἐπεὶ δὲ ταῖς ἐπιστολαῖς τοῦ ἁγίου [4] Παύλου ἐνέτυχεν, ἐπέγνω [5] τοῦ κόσμου τούτου [6] τὴν [6] ματαιότητα. Ὃν καὶ ὁλοψύχως καταλιποῦσα εἰς ἄνδρα τε μετασχηματισθεῖσα, σὺν δυσὶν εὐνούχοις τὸ πρὸ τῆς πόλεως Ἀλεξανδρείας μοναστήριον [7] καταλαβοῦσα, ξενίζεται παρὰ Ἐλένου τοῦ ἐπισκόπου καὶ τὸ θεῖον δέχεται

— [8] Κυδωνείας S. — [9] Βασιλείδος Sa. — [10] Εἰρακλείου S. — [11] Πλακίδας Sa.

1. — [1] Εὐγενείας Sa. — [2] Κομώδου S, Κωμώδου Sa. — [3] τοῦ *add.* Sa. — [4] μακαρίου Sa. — [5] τὴν *add.* Sa. — [6] *om.* Sa. — [7] Sa, μοναστηρίω S.

Dec. 23. καὶ εἰς τὰς ἀκοὰς φθάσαι Λικινίου, τοῦ ἐν Νικομηδείᾳ βασιλεύοντος, τὸ τούτου περιβόητον ὄνομα [2]. Καὶ ἐπεὶ παρέστησαν οἱ ἀποσταλέντες [3] τὸν ἅγιον τῷ τοῦ βασιλέως βήματι, πρῶτον μὲν ἀπειλαῖς ἐπειρῶντο [4] καταπτήσσειν, ἔπειτα δὲ καὶ ποιναῖς. Ὡς δὲ καὶ τύπτειν ἤρξαντο, ἐξεπλάγησαν ἅπαντες ἐπὶ τῇ ἀνυπερβλήτῳ τούτου ὑπομονῇ· ὅθεν καὶ μάζαν σιδηρᾶν ἐκπυρώσαντες, λαβὼν ὁ χαλκεὺς ἐνέθηκε τῇ παλάμῃ τοῦ ἁγίου καὶ ἄνω ταύτης τὴν ἑτέραν αὐτοῦ παλάμην· καὶ σφίγξας αὐτὰς κατέδησεν, ἕως οὗ ὁ σίδηρος ἐψυχράνθη. Τούτου δὲ γενομένου, τὰ κινητικὰ τῶν ἄρθρων νεῦρα συσταλέντα ἔμειναν νεκρὰ καὶ ἀκίνητα. Τότε περιορίσαντες ἀπήγαγον εἰς τὸ παρὰ τὰς ὄχθας τοῦ Ἐυφράτου ποταμοῦ φρούριον κατάκλειστον πεποιηκότες. Ἐλθόντος δὲ τοῦ μεγάλου βασιλέως Κωνσταντίνου ἀπὸ Ῥώμης εἰς τὸ Βυζάντιον, πάντες οἱ ἐν ἐξορίαις καὶ φυλακαῖς ἀπελύοντο καὶ τὰ ἴδια ἕκαστος ἀπελάμβανε· τότε καὶ οὗτος ἀπολυθεὶς κατέλαβε τὸν θρόνον αὐτοῦ διαλάμπων ὡς καὶ πρότερον. Συνῆλθε δὲ καὶ οὗτος μετὰ τῶν λοιπῶν [5] ἁγίων τριακοσίων δέκα καὶ ὀκτὼ πατέρων, εἷς ὢν καὶ αὐτὸς ἐξ αὐτῶν ἐν τῇ κατὰ Νίκαιαν πρώτῃ ἁγίᾳ [5] συνόδῳ, πάντων τὰ τοῦ Χριστοῦ στίγματα ἐν τοῖς σώμασι βασταζόντων καὶ τούτοις ὡραϊζομένων καὶ ὑποδεικνυόντων ἀλλήλοις· ὁ μὲν χεῖρα ἐκκεκομμένην, ὁ δὲ ὦτα, ἄλλος [6] ῥῖνα, ἕτερος ὀφθαλμόν, ἄλλος ἄλλο ἀφῃρημένος [7] μέλος· οἱ δὲ τυλώματα βουνεύρων ἢ ῥοπάλων [8] συνθλάσματα, ἢ καυτῆράς [9] τινας τοῦ σώματος, ἃς βασανιζόμενοι ὑπὲρ Χριστοῦ ὑπέστησαν. Τότε καὶ ὁ μακάριος οὗτος Παῦλος οὐκ ἄμοιρος τούτων ἐτύγχανεν· εἶχε γὰρ καὶ αὐτὸς ῥοπάλων συνθλάσματα καὶ τὰς ἁγίας χεῖρας σιδηροκαύστους καὶ ἀνενεργήτους. Ἐπειδὴ δὲ ἅπαντες διὰ τὸν δυσσεβῆ Ἄρειον συνηθροίσθησαν, θείᾳ ψήφῳ τοῦτον καταλαβόντες καὶ ἀναθεματίσαντες συνεισῆλθον [10] μετὰ τοῦ βασιλέως εἰς τὸ Βυζάντιον. Ὁ δὲ μακάριος Κωνσταντῖνος ὁ βασιλεὺς [11] ἰδίαις χερσὶ κρατῶν τὰς τούτου χεῖρας [12] τοῦ μακαρίου Παύλου καὶ καταφιλῶν καὶ τοῖς ὀφθαλμοῖς αὐτοῦ ἐπιτιθεὶς καὶ τοῖς λοιποῖς μέλεσιν, ἐπεφώνει· « Τὰς διὰ Χριστόν μου χεῖρας νεκρὰς καὶ ἀκινήτους γεγονυίας κατασπάζεσθαι οὐ κορένυμαι. » Εἶθ' οὕτως τὸν θρόνον αὐτοῦ καταλαβὼν ὁ μακάριος οὗτος καὶ χρόνους τινὰς ἐκεῖσε διατρίψας ἀπῆλθε πρὸς Κύριον. — 2. — **Mv** : 1. — Παύλου. — 2. — **Mb** : 1. — Παύλου. — 2. — **Mr** : 1.

Dec. 24. SYNAXARIA SELECTA. **Sa** : 1. 2. — **Sb** : 1. — **H** : 1. 2. — **P** : Ἡ παραμονὴ τῆς Χριστοῦ γεννήσεως. — 1. — **Da** : 1. — **Db** : 1. — **F** : 1. 2 (Ἀχαϊκοῦ καὶ Σχίονος). — **Fa** : 1. 2 (... καὶ Σχίονος). — **B** : 1. — **Ba** : 1 (= S). — **Bb** : 1. — **T** : 1. — **L** : 1. 2. — **Q** : 1. — Καστούλου. Οὗτος ὁ ἅγιος ἦν κατὰ τοὺς χρόνους Λικινίου [1]· ᾧτινι προσαχθεὶς καὶ χριστιανὸν ἑαυτὸν ἀναγορεύσας, ξέεται κρεμασθείς· εἶτα εἰς τήγανον πεπυρακτωμένον βάλλεται πίσσῃ καὶ ἐλαίῳ καὶ στέατι ἀνάπλεον· ἐν ᾧ παραδόξως ἀκατάφλεκτος διαμείνας, παραδίδοται τῷ ἡγεμόνι Ζηλικινθίῳ εἰς ἐξέτασιν. Ἀνακρίνας δὲ αὐτὸν καὶ μὴ πείσας [2] ἀποστῆναι τῆς εἰς Χριστὸν πίστεως, τύπτεται σφοδρῶς καὶ ἐπαφίησιν αὐτὸν θηρσὶ βοράν. Ἀβλαβὴς δὲ ἐξ αὐτῶν διαφυλαχθεὶς πάλιν τύπτεται καὶ αὖθις ἐμβάλλεται εἰς κλίβανον ἀσφάλτῳ πυρωθέντι καὶ πίσσῃ <βράζοντα [3]>. Τοῦ δὲ ἁγίου ἀφλέκτου διαμείναντος ἐν αὐτῷ, ἀναρτηθεὶς ξέεται καὶ σφαίραις μολιβδίναις τὰ σκέλη συντρίβεται καὶ ὀβελίσκοις πεπυρακτωμένοις τοὺς ἀστραγάλους διαπερονᾶται· λόγχῃ τε τὴν γαστέρα πληγεὶς καὶ πᾶσαν τὴν οἰκονομίαν ἐπὶ τῆς γῆς ἐκκενώσας, ξίφει τὴν

— [2] (τὸ - ὄνομα) τὰ κατ' αὐτόν Mv. — [3] παραστῆσαι *add.* Mv. — [4] τὸν ἅγιον *add.* Mv. — [5] *om.* Mv. — [6] δὲ *add.* Mv. — [7] ἀφηρημένον Mv. — [8] καὶ *add.* Mv. — [9] καὶ καυστῆρας Mv. — [10] συνῆλθον Mv. — [11] βασιλεὺς Κωνσταντῖνος Mv. — [12] χεῖρας τούτου Mv.

[1] Λικιννίου Q. — [2] πεισθεὶς Q. — [3] *supplevi, om.* Q.

βάπτισμα μετὰ τῶν σὺν αὐτῇ· καὶ τοῦ τῶν μοναχῶν τάγματος ἀξιοῦται, καὶ μετὰ χρόνον τινὰ τὴν ἡγουμενείαν πιστεύεται καὶ θαύματα ἐκτελεῖν ἀξιοῦται. Ὅθεν γυναικός τινος, Μελανθίας [8] καλουμένης, συγκλητικῆς, τὸ ἐνοχλοῦν αὐτῇ πάθος ἰασαμένη, διαβάλλεται ὕστερον πρὸς αὐτῆς, ὡς πρὸς μίξιν ταύτην ἐκκαλουμένη πρὸς τὸν ἔπαρχον [9] Φίλιππον. Τοῦ δὲ τὴν ὁσίαν παραστησαμένου [10], πᾶσα ἡ περὶ αὐτὴν ἐφάνη [11] ἀλήθεια. Οὐ
f. 115v. μόνον γὰρ [12] ἐν σχήματι | ἀνδρὸς γυνὴ οὖσα ἀπεφάνθη, ἀλλ' ὅτι καὶ αὐτή ἐστιν ἡ τοῦ ἐπάρχου θυγάτηρ· ὅθεν τόν τε πατέρα καὶ τὴν μητέρα καὶ πολλοὺς ἄλλους τοὺς ἐκ τῆς οἰκίας πρὸς τὴν εἰς Χριστὸν ἐπεσπάσατο πίστιν [13]. Καὶ ὁ μὲν ταύτης πατὴρ τὴν τοῦ ἐπάρχου τάξιν ἀποθέμενος, βαπτίζεται καὶ ἐπίσκοπος καθίσταται, καὶ μετὰ τοῦτο τὴν διὰ μαρτυρίου τελείωσιν δέχεται, ἐπιπεσόντων αὐτῷ τῶν ἀπίστων ἐν τῷ ναῷ καὶ ἀνελόντων μαχαίρᾳ. Ἡ δὲ ἁγία Εὐγενία ἐν τῇ Ῥώμῃ ἀπάγεται μετὰ τῆς μητρὸς καὶ τῶν ἀδελ- Dec. 24.

— [8] Μελανθήας S. — [9] κατηγορηθεῖσα *add.* Sa. — [10] καὶ *add.* Sa. — [11] ἡ *add.* Sa. — [12] δὲ Sa. — [13] πίστιν ἐπεσπάσατο Sa.

κεφαλὴν ἀποτέμνεται. — Σοσσίου καὶ Θεοκλείου. Οὗτοι οἱ ἅγιοι ὑπῆρχον ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ καὶ Μαγνεντίου. Συλληφθέντες δὲ παρὰ Βαύδου ἡγεμόνος καὶ τὸν Χριστὸν ἀρνήσασθαι μὴ πεισθέντες, αἰκίζονται σφοδρῶς· εἶτα κρεμασθέντες κατὰ κεφαλῆς ξέονται ὄνυξι σιδηροῖς, πυρὶ φλέγονται, ὄξει καὶ ἅλατι τὰς ξανθείσας τε καὶ περιφλεχθείσας σάρκας μετὰ ὀστράκων ἀνατρίβονται, ῥοπάλοις τὰ στέρνα καὶ τὸν νῶτον παίονται, τὴν δορὰν τῆς κεφαλῆς ξυρῷ ἀφαιροῦνται καὶ τὰ νεῦρα τέμνονται ἐξαρθροῦνται τὰς ἁρμονίας καὶ σούβλαις πεπυρακτωμέναις τὰς πλευρὰς διαπερονοῦνται, λίθοις βάλλονται καὶ ἵπποις ἀγρίοις προσδεθέντες κατὰ δυσβάτων χωρίων σύρονται, πυρὶ βάλλονται καὶ τέλος τὰς κεφαλὰς ἀποτέμνονται. — **C** : 1. — **Cb** : 1. — **Cc** : 1. — **Cd** : 1. — **M** : 1. — Βασίλισσα συμμαρτυρήσασα τῇ ἁγίᾳ Εὐγενίᾳ ξ. τ. — Φίλιππος ὁ πατὴρ τῆς ἁγίας Εὐγενίας ξ. τ. — Πρωτᾶς καὶ Ὑάκινθος οἱ εὐνοῦχοι καὶ συνασκηταὶ τῆς ἁγίας Εὐγενείας ξ. τ. — Νικολάου μοναχοῦ τοῦ ἀπὸ στρατιωτῶν [4], διήγησις ὠφέλιμος. Ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Νικόλαος στρατιώτης γέγονε· καὶ Νικηφόρου τοῦ βασιλέως ἐκστρατεύσαντος κατὰ τῶν [5] Βουλγάρων, ἐξῆλθε καὶ αὐτὸς σὺν τῷ στρατοπέδῳ. Καὶ διερχόμενος πρὸς ἑσπέραν κατέλυσεν ἐν πανδοχείῳ· καὶ συνδειπνήσας τῷ πανδοχεῖ καὶ προσευξάμενος, ἀνεκλίθη πρὸς ὕπνον. Καὶ περὶ δευτέραν ἢ τρίτην φυλακὴν τῆς νυκτὸς ἡ τοῦ ὑποδεξαμένου αὐτὸν θυγάτηρ, σατανικῷ ἔρωτι τρωθεῖσα, ἔνυξε τὸν δίκαιον πρὸς αἰσχρὰν μίξιν ἐφελκομένη. Ὁ δὲ ἅγιος πρὸς αὐτήν· « Παῦσαι, γύναιον [6], τοῦ σατανικοῦ καὶ ἀθέσμου ἔρωτος καὶ μὴ θελήσῃς χρᾶναι » τὴν παρθενίαν σου, κἀμὲ τὸν ταλαίπωρον εἰς ᾅδου πέταυρον ἀγαγεῖν. » Ἡ δὲ πρὸς μικρὸν ἀνεχώρησε, καὶ μετ' ὀλίγον ἐλθοῦσα πάλιν ὤχλει τὸν δίκαιον. Ὁ δὲ ἅγιος ἀπεπέμψατο αὐτὴν τὸ δεύτερον, ἐπιστύψας σφοδρῶς. Ἡ δὲ πάλιν ἀναχωρήσασα, ἐκβακχευομένη τῷ ἔρωτι ὑπέστρεψε πρὸς αὐτόν. Τότε ὁ ἅγιος λέγει πρὸς αὐτήν· « Ταλαίπωρε καὶ πάσης αἰσχύνης καὶ ἀναιδείας πεπληρωμένη, οὐχ » ὁρᾷς, ὅτι οἱ δαίμονές σε ταράσσουσιν, ἵνα καὶ τὴν ψυχήν σου εἰς κόλασιν ἐμβάλωσι καὶ τὴν παρθενίαν » σου διαφθείρωσι καὶ γέλως καὶ ὄνειδος πᾶσι καὶ τῇ συγγενείᾳ σου ἀποκαταστήσωσί σε [7]; οὐ βλέπεις » ὅτι κἀγὼ ὁ ἐλάχιστος πρὸς ἔθνη βάρβαρα καὶ πόλεμον καὶ αἱμάτων [8] ἐκχύσεις πορεύομαι, τοῦ Θεοῦ » ἐνδυναμοῦντός με; πῶς οὖν μιάνω τὴν σάρκα, πρὸς πόλεμον ἀπερχόμενος; » Ταῦτα καὶ ἕτερα τοιαῦτα προσειπὼν αὐτῇ, ἀπεπέμψατο· καὶ ἀναστὰς καὶ προσευξάμενος, εἶχετο τῆς ὁδοῦ. Καὶ τῇ ἐπελθούσῃ νυκτὶ ὑπνοῦντος αὐτοῦ, ὁρᾷ ἑαυτὸν εἰς εὔοπτον τόπον ἱστάμενον, καὶ πλησίον αὐτοῦ δυνάστην τινὰ καθεζόμενον καὶ τὸν δεξιὸν πόδα τῷ ἀριστερῷ ποδὶ ἐπικείμενον ἔχοντα, καί φησι πρὸς αὐτόν· « Βλέπεις ἑκατέρου μέρους τὰ στρατεύματα; » Ὁ δὲ ἀπεκρίνατο· « Ναί, κύριε, ὁρῶ ὅτι οἱ » Ῥωμαῖοι συγκόπτουσι τοὺς Βουλγάρους. » Καὶ λέγει ὁ φαινόμενος πρὸς τὸν δίκαιον· « Βλέψον πρὸς » ἡμᾶς. » Καὶ προσβλεψάμενος εἶδεν αὐτὸν τὸν δεξιὸν πόδα τῇ γῇ προσερείσαντα καὶ τὸν ἀριστερὸν ἐπάνω τοῦ δεξιοῦ ἐπιθέμενον. Οὗ γενομένου, περιβλεψάμενος πάλιν ὁ δίκαιος πρὸς τὸ στρατόπεδον, βλέπει τοὺς ὑπεναντίους ἀφειδῶς συγκόπτοντας τοὺς Ῥωμαίους. Καὶ μετὰ τὸ παύσασθαι τὴν συγκοπήν [9], λέγει ὁ καθήμενος τῷ στρατιώτῃ· « Κατανόησον ἀκριβῶς τὴν συγκοπὴν τῶν σκηνωμάτων » καὶ λέγε μοι, τί τὸ ὁρώμενον. » Ὁ δὲ περιβλεψάμενος εἶδε πᾶσαν τὴν φαινομένην αὐτῷ γῆν νεκρῶν σωμάτων πεπληρωμένην, καὶ μέσον πάντων μιᾶς κοίτης λιβαδιαίαν χλοεράν. Καὶ λέγει αὐτῷ· « Κύριε, » πᾶσα ἡ γῆ τῶν ἀφειδῶς κατακοπέντων Ῥωμαίων πεπληρωμένη ἐστὶν ἐκτὸς μιᾶς κοίτης. » Τότε ὁ φαινόμενος φοβερὸς εἶπε τῷ στρατιώτῃ· « Καὶ τί λογίζῃ εἶναι αὐτό; » Ὁ δὲ ἀπεκρίνατο· « Ἰδιώτης » εἰμί, κύριε, καὶ οὐ γινώσκω. » Καὶ πάλιν πρὸς αὐτὸν ὁ φοβερός· « Αὕτη ἡ γυμνὴ λιβάς, ἣν ὁρᾷς μιᾶς » κοίτης ἔχουσαν [10] μῆκος, σή ἐστι καὶ ἐν αὐτῇ ὤφειλες συγκοπῆναι μετὰ τῶν συστρατιωτῶν σου καὶ » τεθῆναι ἐν αὐτῇ καὶ ἀναπληρῶσαι τὸ λεῖπον· ἐπεὶ δὲ τῇ παρελθούσῃ νυκτὶ τὸν τρίπλοκον ὄφιν, τὸν » εἰς αἰσχρὰν μίξιν [11] τρισσῶς προσπαλαίσαντα καὶ ἀποκτεῖναι μέλλοντα [12], εὐφυῶς ἀπὸ σοῦ ἀπετί- » ναξας, ἰδοὺ σὺ αὐτὸς ἑαυτὸν ἐκ τῆς συγκοπῆς ταύτης ἠλευθέρωσας καὶ τῆς λιβάδος [13] τὴν στρωμνὴν » ἄμοιρον πεποίηκας καὶ τὴν ψυχὴν σὺν τῷ σώματι ἔσωσας. Λοιπὸν οὔτε φυσικὸς θάνατός σου » κυριεύσει ἐὰν γνησίως [14] μοι δουλεύσῃς. » Ταῦτα ἑωρακὼς [15] σύντρομος γενόμενος, διϋπνίσθη [16] καὶ ἀναστὰς προσηύξατο. Καὶ ὑποστρέψας μιᾶς ἡμέρας ὁδοῦ διάστημα ἀνῆλθεν εἰς ὄρος· καὶ προσευχό- Dec. 24.

— [4] καὶ *add.* Mv. — [5] (ὁ ἐν - τῶν) οὗτος ἦν ἐπὶ τῆς βασιλείας Νικηφόρου στρατιώτης τῆς τύχην· τοῦ οὖν βασιλέως ἐκστρατεύσαντος κατὰ Mv. — [6] φησι παῦσαι γύναι Mv. — [7] (καὶ τὴν - σε) *ante* τὴν ψυχὴν Mv. — [8] καὶ αἱμάτων *om.* Mv. — [9] τῶν σκηνωμάτων *add.* Mv. — [10] ἔχουσα Mv. — [11] (τὸν - μίξιν) *om.* Mv. — [12] θέλοντα Mv. — [13] στιβάδος Mv. — [14] σὺ *add.* Mv. — [15] ἐκθαμβος καὶ *add.* Mv. — [16] διυπνισθεὶς Mv.

Dec. 24. φῶν καὶ Πρωτᾶ καὶ Ὑακίνθου [14] τῶν εὐνούχων τῶν ἐξ ἀρχῆς αὐτῇ συγκακοπαθησάντων. Οἳ τὰς κεφαλὰς ἀποτέμνονται, αὐτὴ δὲ λίθῳ προσδεθεῖσα βαρεῖ ἐν τῷ Τιβέριδι [15] ῥίπτεται ποταμῷ, κἀκεῖθεν διασωθεῖσα τὴν διὰ ξίφους τελείωσιν δέχεται.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀχαϊκοῦ καὶ Σχίνωνος [1].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΕ'.

Dec. 25. 1. Ἡ εἰκὰς πέμπτη [1] τοῦ δεκεμβρίου μηνὸς τὸ μέγα μυστήριον τῆς πρὸς ἡμᾶς μετὰ σαρκὸς ἐκ τῆς Θεοτόκου ἐπιδημίας τοῦ υἱοῦ καὶ λόγου τοῦ [2] Θεοῦ καὶ πατρὸς γνωρίζει. Ἐν ταύτῃ γὰρ ἡ ἀπ' αἰῶνος βουλὴ τοῦ μεγάλου Θεοῦ καὶ πατρὸς πεφανέρωται· ἡ δὲ ἦν αὐτὸν τὸν κύριον καὶ Θεὸν ἡμῶν καὶ υἱὸν αὐτοῦ μεθ' ἡμῶν γενέσθαι καὶ ἄνθρωπον τὸν πρωτότοκον τῆς κτίσεως χρηματίσαι ἐκ παρθένου ἁγίας, ὃ ἐδημιούργησε μὴ ἀπαξιώσαντα λαβεῖν καὶ ἴσον ἡμῖν κατὰ πάντα φανῆναι, μόνης ἁμαρτίας χωρίς. Ἵνα γὰρ ἐν ἑαυτῷ ἀνακεφαλαιώσῃ τὰ πάντα διὰ τῆς τοιαύτης συγκαταβάσεως καὶ Θεὸς ὁ θνητὸς γένηται καὶ οὐράνιος ὁ χοϊκός, καὶ ὁ χρόνιος λυθῇ πόλεμος καὶ μία ἐκκλησία ἐν οὐρανῷ καὶ γῇ δοξάζουσα τὸν εἰρηνοποιήσαντα τὰ πάντα διὰ τῆς ἐπὶ γῆς αὐτοῦ παρουσίας [3], ἐκ παρθενικῆς μήτρας [4] σήμερον παιδίον γεννᾶται, οὗ καὶ τὴν ἁγίαν γέννησιν τὴν ἀπόρρητον, ἀγγέλοις τε καὶ ἀνθρώποις ἀνερμήνευτον, οὐ μόνον παγκόσμιον ἑορτὴν ἄγομεν οἱ τυχόντες πάντες ἄνθρωποι διὰ τῆς μετὰ σαρκὸς αὐτοῦ θεοφανείας κρείττονος ἀναπλάσεως καὶ τῆς προτέρας πολὺ θεοειδεστέρας, ἀλλὰ καὶ πρώτην καὶ περιεκτικωτέραν ταύτην πασῶν τῶν τοῦ Χριστοῦ πανηγύρεων εἰκόσι λογισμοῖς καὶ κριτηρίοις ἀπταίστοις νοὸς ψηφιζόμενοι | λαμπρότερον διατιθέμεθα [5] καὶ φαιδρότερον, ὡς τοῦ κεφαλαίου τοῦ μυστηρίου παντὸς κατ' αὐτὴν πεπραγμένου καὶ τῆς ἀληθοῦς θεώσεως καὶ ἀσφαλοῦς σωτηρίας ἡμῶν περιοχήν τε καὶ ὑπογραφὴν ἐμπεριέχουσάν [6] τε καὶ ὑπογράφουσαν [7]. f. 116.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Κϛ'.

Dec. 26. 1. Ἡ σύναξις τῆς ὑπεραγίας Θεοτόκου ἐν Βλαχέρναις, ἔνθα ἀπόκειται ἡ ἁγία σορός.

2. Καὶ μνήμη τοῦ ἁγίου καὶ δικαίου Ἰωσὴφ τοῦ μνήστορος [1].

— [14] Ὑακίνθω S. — [15] Τιβερίδη Sa.

2. — [1] Σχοίνωνος Sa.

1. — [1] ἡ κε' Sa. — [2] καὶ Sa. — [3] παρρουσίας S, παρρησίας Sa. — [4] ἐκ παρθένου Sa. — [5] ἐν αὐτῇ *add.* Sa. — [6] ἣ περιέχουσαν S, Sa. — [7] ὑπογράφεσθαι Sa.

2. — [1] *prius* μνήστορος, *dein* μνηστόρου Sa.

Dec. 24. μενος ἐδέετο τοῦ Θεοῦ περὶ τοῦ στρατοπέδου. Καὶ εἰσελθὼν ὁ βασιλεὺς εἰς τὰς κλεισούρας τῆς Βουλγαρίας, ἀνῆλθον οἱ Βούλγαροι εἰς τὸ ὄρος, ὀλίγους ἐάσαντες εἰς παραφυλακήν, πεντεκαίδεκα χιλιάδες [17] μικρόν τι πλεῖον ἢ ἔλασσον· οὓς καὶ κατασφάξαντες οἱ Ῥωμαῖοι, ἐματαιώθησαν· ἀσυστρόφως γὰρ τῇ χώρᾳ προσρυέντες, μικροῦ πᾶσα ἡ τῶν Ῥωμαίων παράταξις φόνου ἂν ἐγεγόνει [18] παρανάλωμα, σὺν τῷ βασιλεῖ Νικηφόρῳ. Τότε ὁ δίκαιος τῆς ὀπτασίας ἀναμνησθεὶς καὶ τῷ Θεῷ εὐχαριστήσας, ὑπέστρεψεν ἐκεῖθεν κλαίων καὶ ὀδυρόμενος· καὶ ἀπελθὼν ἐν μοναστηρίῳ, ἔλαβε τὸ ἅγιον σχῆμα καὶ τῷ Θεῷ γνησίως δουλεύσας ἐπὶ χρόνους ἱκανοὺς γέγονε διακριτικώτατος καὶ μέγας πατήρ. — 2 (Ἀχαϊκὸς solus). — Ἀντίοχος ἐν εἰρήνῃ τ. — **Mv** : 1. — Βασίλλα [19]. — Φίλιππος. — Πρωτᾶς καὶ Ὑάκινθος. — Νικολάου μοναχοῦ. — 2 (Ἀχαϊκός solus). — Ἀντίοχος. — **Mb** : 1. — Νικολάου. — Βασίλλας. — Φιλίππου. — Πρωτᾶ καὶ Ὑακίνθου. — 2 (Σχίνωνος solius). — **Mr** : 1.

Dec. 25. SYNAXARIA SELECTA. **Sa** : 1. — **Sb** : 1. Sequitur : Κυριακῇ μετὰ τὴν Χριστοῦ γέννησιν... Δαβὶδ... Ἰωσὴφ... Ἰακώβου. — **H** : 1. — **P** : 1. — **Da** : 1. — **Db** : 1. — **F** : 1. Sequitur : Κυριακῇ μετὰ τὴν γέννησιν... — **Fb** : 1. — **B** : 1. — Ἡ τῶν μάγων προσκύνησις. — Ἰωσὴφ ὁ μνήστωρ (Dec. 26²). — **Ba** : 1 (= S). — Ἡ τῶν μάγων προσκύνησις. — Ἰωσήφ. — **Bb** : 1. — Ἡ τῶν μάγων προσκύνησις. — Ἰωσήφ. — **L** : 1. — **C** : 1. — Ἡ τῶν μάγων προσκύνησις. — Ἰωσὴφ ὁ μνήστωρ. — Ἡ Θεοτόκος φεύγει ἐν Αἰγύπτῳ. Sequitur : Κυριακῇ μετὰ τὴν τοῦ Χριστοῦ γέννησιν μνήμη τῶν ἁγίων καὶ δικαίων Ἰωσὴφ τοῦ χρηματίσαντος κατὰ σάρκα πατρὸς τοῦ Κυρίου καὶ Ἰακώβου τοῦ ἀδελφοῦ τοῦ Κυρίου καὶ Δαβὶδ τοῦ προφήτου τοῦ βασιλέως, ὃς ἦν υἱὸς Ἰέσσαι. — **Cb** : 1. — Ἡ τῶν μάγων προσκύνησις. — **Cc** : 1. — Ἡ τῶν μάγων προσκύνησις. — Ἰωσήφ. — Ἡ Θεοτόκος φεύγει. — **Cd** : 1. — Ἡ τῶν μάγων προσκύνησις. — Ἰωσὴφ ὁ μνήστωρ καὶ φύλαξ τῆς παρθένου χρηματιζόμενος ὑπὸ τοῦ θείου ἀγγέλου. — Ἡ Θεοτόκος φεύγουσα ἐν Αἰγύπτῳ. — **M** : 1. — Ἡ προσκύνησις τῶν μάγων. — **Mv** : 1. — Ἡ προσκύνησις τῶν μάγων. — **Mb** : 1. — Ἡ τῶν μάγων προσκύνησις. — Ἰωσὴφ ὁ μνήστωρ καὶ φύλαξ τῆς παρθένου χρηματιζόμενος ὑπὸ τοῦ θείου ἀγγέλου. — Τῶν θεασαμένων ποιμένων τὸν Κύριον. — **Mr** : 1. — Ἡ προσκύνησις τῶν μάγων.

Dec. 26. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. — **Sb** : initio mutil. 4. 5. — **H** : 1. 3. — Μνήμη Θεοδώρου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως (Dec. 20²). — **P** : 1. — Ἄθλησις τοῦ πλήθους τῶν καέντων ἐν Νικομηδείᾳ (Dec. 28¹). — 3 : Εὐθυμίου τοῦ Σάρδης, ἐπὶ Θεοφίλου βασιλέως. Sequitur : Σαββάτῳ

— [17] χιλιάδας M, Mv. — [18] ἐγένετο Mv. — [19] Βασίλα Mv.

3. Καὶ [1] μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Εὐθυμίου ἐπισκόπου Σάρδεων τοῦ ὁμολογητοῦ. Ὃς ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου καὶ Εἰρήνης, πρότερον μὲν ἐν τῇ μοναδικῇ πολιτείᾳ δίκην ἀστέρος ἐκλάμψας, ἔπειτα δὲ ἀρχιερεὺς γενόμενος καὶ ἐν τῇ κατὰ Νίκαιαν δευτέρᾳ συνόδῳ τοὺς αἱρετικοὺς ἀνακράτος τρέψας· διὸ οὕτως ἔχοντα τοῦτον οἱ βασιλεῖς θεασάμενοι εἰς διαφόρους καὶ δημοσίας πρεσβείας στέλλουσι. Τοῦ δὲ Νικηφόρου τὴν βασιλείαν κρατήσαντος [2], εἰς Παττάλαραν [3] τῆς ἑσπέρας ὁ ἅγιος σὺν ἄλλοις ὀρθοδόξοις ἐπισκόποις διὰ κόρην τινὰ ἣν ἀπέκειρε στέλλεται. Ἔκτοτε οὖν καὶ μέχρι τῆς ἀθλοφορίας ὁ πανόλβιος οὐκέτι γέγονεν ἐγκρατὴς τῆς ἰδίας μητροπόλεως, χρόνων ἐννέα καὶ εἴκοσι παρῳχηκότων ἤδη. Ἐκποδὼν δὲ γενομένων τῶν κρατησάντων βασιλέων καὶ Λέοντος τοῦ θηριωνύμου τὰ Ῥωμαϊκὰ σκῆπτρα διαδεξαμένου, ἐκ τῆς ὑπερορίας ὁ ἅγιος μεταστέλλεται· καὶ πρὸς αὐτοῦ ἐρωτᾶται, εἰ ταῖς εἰκόναις [4] φησὶ σέβας προσνέμει. Τοῦ δὲ ἁγίου τῇ ἐξ ἔθους παρρησίᾳ χρησαμένου καὶ ἀναθέματι τοῦτον ὑποβαλόντος [5], ὁ τύραννος ὀργισθεὶς ἐν τῇ Ἄσσῳ τοῦτον ὑπερορίζει καὶ αὖθις. Μαχαίρας δὲ ἔργον τοῦ κακίστου Λέοντος γενομένου πρὸς [6] τοῦ μετ' αὐτὸν κρατήσαντος, τῆς Ἄσσου ὁ μακάριος ἀνακαλεῖται, καὶ σέβας ταῖς ἁγίαις εἰκόναις [4] μὴ προσάγειν ἀναγκάζεται. Ὁ δὲ αὖθις καὶ τοῦτον λόγοις καταβροντήσας καὶ τό· « Εἴ τις οὐ προσκυνεῖ τὸν κύριον ἡμῶν Ἰησοῦν » Χριστὸν ἐν εἰκόνι περιγραπτόν, ἤτω ἀνάθεμα », ἐκβοήσας, παίεται καὶ ἐν τῷ Ἀκρίτᾳ ὑπερορίζεται καὶ ἐν εἱρκτῇ ζοφωτάτῃ ἐγκλείεται. Ἔπειτα ἐκ τεσσάρων τείνεται καὶ βουνεύροις ὤμοῖς ἐπὶ πολὺ καταξαίνεται. Ὅθεν ὁ ἅγιος δίκην ἀσκοῦ ἐκ τοῦ πλήθους τῶν ἀφορήτων ἐκείνων πληγῶν ὀγκωθεὶς ὀκτὼ μόνας ἡμέρας διεκαρτέρησε | μετὰ τὴν ἄθλησιν· καὶ οὕτω τὴν τιμίαν αὐτοῦ ψυχὴν εἰς χεῖρας Θεοῦ παρέθετο. f. 116v.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Κωνσταντίνου τοῦ ἐξ Ἰουδαίων. Ὥτινι [1] πατρὶς μὲν Σύναδα πόλις, γένος δὲ [2] Ἰουδαίων. Νήπιος δὲ ὑπάρχων κομιδῇ καὶ τῇ μητρί ποτε συνεπόμενος καὶ χάσμῃ τινὰ ἰδὼν χριστιανὸν περιπεσόντα καὶ τὸν τύπον τοῦ σταυροῦ ἐν τῷ στόματι αὐτοῦ χαράξαντα, καὶ αὐτὸς ἔκτοτε τὰ ὅμοια ἐποίει τὸν θεαθέντα μιμούμενος, καὶ τὰ [2] χριστιανῶν θερμῇ διεπράττετο πίστει· διὸ τὸ πρόσωπον καταλάμπεται, τὰ χριστιανῶν θεόθεν μυεῖται, ἄσιτος ἐπί τινας ἡμέρας διατελεῖ. Τούτῳ κόρη τις ἑβραία ἑταιρικῶς ποτε ἐπεπήδησε· καὶ τῷ τοῦ τιμίου σταυροῦ σημείῳ νεκρὰν ταύτην ἀπέδειξε καὶ αὖθις ἐζώωσε. Νεφέλῃ δὲ θείᾳ ποδηγούμενος καταλαμβάνει ψυχικὸν φροντιστήριον λεγόμενον Φουβουτίον [3], ἐν ᾧ μεγίστων ἀνδρῶν ἐξέλαμπεν ἀρετὴ τὸν ἀσκητικὸν βίον διανυόντων. Ὡς δὲ τῷ προεστῶτι τὰ κατ' αὐτὸν διηγήσατο, κελεύει ἐκεῖνος ἐνεχθῆναι σταυρὸν καὶ προστάττει αὐτὸν ἀσπάσασθαι. Ὡς δὲ τὴν βάσιν ἠσπάζετο περιδεῶς ὁ μακάριος οὗτος, ὅλῳ τῷ ἰκρίῳ [4] καὶ τοῖς κέρασι τὸ σεβάσμιον ὅπλον ἐκεῖνο κατὰ τῆς ὁσίας ἐπικλιθὲν κορυφῆς [5], σταυροειδῆ τύπον εἰργάσατο ἐν αὐτῇ ἀνεξάλειπτον φυλαχθέντα μέχρις ἐξόδου αὐτοῦ· εἶτα τοῦ θείου βαπτίσματος ἀξιωθεὶς Κωνσταντῖνος μετονομάζεται. Ἐν ᾧ δὲ τόπῳ ἔστη, τῆς κολυμβήθρας ἐξελθών, ἐκτυποῦνται τὰ ἴχνη αὐτοῦ. <Εἶτα [6]> πρὸς τοὺς πνευματικοὺς ἀγῶνας ἀποδύεται, ὑπερβαλέσθαι πάντας φιλονεικεῖ τῇ σκληραγωγίᾳ, τοῦ ἀποστόλου Παύλου τὴν τέχνην μεταχειρίζεται. Ὑπηνίκα τὰς εὐχὰς τῷ Θεῷ ἀπεδίδου, εὐωδίας ὁ τόπος ἐπληροῦτο· αὐτομάτως αἱ θύραι τῆς ἐκκλησίας αὐτῷ ἠνοίγοντο [7], τοὺς λογισμοὺς ἑκάστου τῶν ἀδελφῶν διὰ καθαρότητα ψυχῆς ἔβλεπεν. Ἔπειτα τὸ τοῦ Ὀλύμπου ὄρος καταλαμβάνει, ἐν τοῖς Μύροις ἔρχεται, τῆς Κύπρου ἐπιβαίνει, εἰς Ἀττάλιαν [8] παραγίνεται καὶ ναυσίπορον [9] ποταμὸν ποσὶν οἰκείοις περαιοῦται. Καὶ πολλοὺς ἑτέρους τόπους περινοστησάμενος, πάλιν ἐπὶ τὸν Ὄλυμπον ἔρχεται· τεσσαράκοντα ἡμέρας οὐ μόνον νῆστις ἀλλὰ καὶ μέχρις ὀσφύος ἐν λάκκῳ τινὶ κεχωσμένος διετέλεσεν [10]. Μετὰ ταῦτα τὴν | τοῦ πρεσβυτέρου χειροτονίαν καὶ ἄκων καταδέχεται· εἶθ' οὕτως ἐπὶ τὴν Ἀτρώαν [11] ἔρχεται τῶν ἀγώνων ἐχόμενος, καὶ πρὸ ὀκτὼ ἐνιαυτῶν τὴν πρὸς Θεὸν αὐτοῦ ἐκδημίαν μανθάνει. Τούτων ἤδη τελειωθέντων, πρὸς Κύριον μεθίσταται, τὰ περὶ αὐτοῦ πάντα σαφέστατα προδηλώσας. f. 117.

3. — [1] τῇ αὐτῇ ἡμέρα Sa. — [2] κρατήσαντα Sa. — [3] Πατταλαραίαν Sa, Πατλαρέαν Mv. — [4] εἰκόσι Sa. — [5] ὑποβαλλόντος S. — [6] παρὰ Sa.

4. — [1] ὧ Sa. — [2] τῶν *add.* Sa. — [3] Φοβουτίον Sa. — [4] ||||κρίω Sa. — [5] κεφαλῆς Sa. — [6] Sa, *om.* S. — [7] διηνοίγοντο Sa. — [8] Ἀτταλείαν Sa. — [9] ναυσίπορ Sa. — [10] ἐτέλεσε Sa. — [11] Ἀτροάν S, Sa.

μετὰ τὴν Χριστοῦ γέννησιν... — **Da** : 1. 3. 4. 5. — **Db** : 1. 3. 4. 5. — **F** : 1. 3. 4. 5. — **Fa** : 1. 4. 5. — **B** : Ἡ Θεοτόκος φεύγουσα εἰς Αἴγυπτον. — **Ba** : Ἡ Θεοτόκος φεύγουσα. — 3 : Εὐθυμίου ἐπισκόπου Σάρδεων Οὗτος ἐν τῇ κατὰ Νίκαιαν δευτέρᾳ συνόδῳ ἐγνωρίζετο μέγας ἀρχιερεύς... Des. : ἔπειτα ἐν σκοτεινῷ δομήματι ἐναπορριφεὶς κατὰ τὸν οὕτω λεγόμενον τόπον Ἀκρίτας· μετὰ ταῦτα τόν τε λογοθέτην καὶ τὸν ἐπὶ κανικλείου λεγόμενον ἀποστείλας ὁ τύραννος, συλλήσειν ἐπειρᾶτο τὸν ἅγιον καὶ τῶν ἁγίων εἰκόνων ἔξαρνον καταστῆσαι. Ἐπεὶ δὲ ἄπρακτοι ἔμενον, βοείοις δέρμασι ἐπὶ γυμνοῦ τὸν ἅγιον μέχρι τῶν ρ' μαστίγων παίουσι, καὶ δισσῶς καταισχυνθέντες οἱ ἄθλιοι ὑπέστρεφον. Ὀκτὼ δὲ ἡμέρας μετὰ τὴν ἄθλησιν ὁ ἅγιος ἐπιβιοὺς πρὸς Κύριον ἐξεδήμησεν. — 4 (= S). 5 : Εὐαρέστου. Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Λέοντος τοῦ εἰκονομάχου, γονέων ἐπιφανῶν τῆς Γαλατῶν χώρας... Des. : τὸ δὲ τίμιον αὐτοῦ σῶμα ἐν τῇ τοῦ Κοκκοροβίου μονῇ ἀποτίθεται. Sequitur : Σαββάτῳ μετὰ τὴν Χριστοῦ γέννησιν... — **Bb** : Ἡ Θεοτόκος φεύγουσα. — 3. — **L** : 1. — **C** : 3. — **Cb** : Τῇ κυριακῇ μετὰ τὴν Χριστοῦ γέννησιν μνήμη τοῦ ἁγίου καὶ δικαίου Ἰωσὴφ... καὶ Ἰακώβου τοῦ ἀδελφοῦ τοῦ Κυρίου καὶ Δαβὶδ τοῦ προφήτου καὶ βασιλέως. — **Cc** : Κυριακῇ μετὰ τὴν Χριστοῦ γέννησιν... Ἰωσὴφ... Ἰακώβου... καὶ

Dec. 26. **5.** Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Εὐαρέστου. Ὅτινι πατρὶς μὲν ὑπῆρχεν ἡ ἐν τῇ Ἀσίᾳ τῶν Γαλατῶν ἐπαρχία· γονεῖς δὲ τῶν ἐπιφανῶν οἱ ἄριστοι, βασιλεύοντος[1] Ῥωμαίων Λέοντος τοῦ τυράννου καὶ εἰκονομάχου, ὃς ἔίφει ἀναιρεθεὶς ἄξιον τέλος ἀπηνέγκατο. Διαδεξάμενος δὲ τοῦτον Μιχαὴλ καὶ αὐτὸς αἴσχιστος καὶ ὁμότροπος ὑπάρχων, τῆς αὐτῆς τῷ προλαβόντι ποινῆς τὰς εὐθύνας εἰσπράττεται. Ἐπεὶ δὲ εἰς μέτρον ἡλικίας ἀφίκετο οὗτος ὁ παῖς, εἰς τὴν τῶν μαθημάτων ἀνάληψιν ἐκδίδοται, πᾶσι τὰ πάντα γενόμενος, γονεῦσιν εὐπειθής, φίλοις καὶ γείτοσιν εὐπρεπής, ξένοις καὶ αὐτόχθοσι προσηνής, ἐπαληθεύων ἐν τούτοις τὴν προσηγορίαν αὐτοῦ. Ἔρωτι δὲ θείῳ τρωθεὶς τὸν μονήρη βίον ἠγάπα· διὸ καὶ πρὸς Κωνσταντινούπολιν ἔρχεται ἅμα τῷ ἰδίῳ πατρὶ καὶ ξενίζεται παρά τινι τῶν ἐν τέλει Βρυεννίῳ, τῇ τοῦ πατρικίου ἐπ' ἐσχάτων τιμηθέντι ἀξίᾳ, καὶ συγγενεῖ αὐτοῦ ὑπάρχοντι. Καί τινας ἡμέρας αὐτῷ συγγενόμενος, χρείας καταλαβούσης, ἀποστέλλεται παρὰ τῆς βασιλίδος Θεοδώρας πρέσβυς πρὸς Βουλγάρους ὁ πατρίκιος, ἔχων μεθ' ἑαυτοῦ τὸν[2] τίμιον Εὐάρεστον. Καταλαβόντων δὲ αὐτῶν τόπον[3] λεγόμενον Σκόπελον καὶ μικρόν τι διαναπαυσαμένων[4], ὁ μακάριος κατά τινα οἰκονομίαν ἐντυχὼν πρεσβυτέρῳ τὸν ἀσκητικὸν μετερχομένῳ βίον[5] τοῦ ποθουμένου τυγχάνει, καὶ τὴν κόμην καρεὶς προθύμως τὸν τοῦ Κυρίου ζυγὸν ὑπεισῆλθε. Βίβλῳ δὲ τοῦ ἀοιδίμου Ἐφραὶμ ἐντυχὼν ἀναγνούς τε καὶ κατανυγείς, πληρωτὴς τῶν διδασκαλιῶν αὐτοῦ ἔσπευδε γενέσθαι. Ὁ δὲ γέρων τὸ πρὸς ἀρετὴν τοῦ νέου ζέον αἰσθόμενος, εὐχῇ καὶ γράμμασι τοῦτον ἐφοδιάσας, τῇ μονῇ τῶν Στουδίου ἐξέπεμψε· καὶ εἰσδεχθεὶς εἰς[6] τοὺς ἀσκητικοὺς ἀγῶνας ἐχώρει. Ἕνα δὲ τῶν ἄλλων ἀδελφῶν προκρίνας, ὡς κατ' ἀρετὴν ὑπερέχοντα, τοῦτον κοινωνὸν τῶν σπουδασμάτων ἐτίθετο, μηδενὸς ἑτέρου γευόμενος ἅπαξ τῆς ἑβδομάδος, | πλὴν f. 117v. μικροῦ ἄρτου καὶ τούτου ἐξ ἀλφίτου[7] κατεσκευασμένου[8] καὶ ζωμοῦ λαχάνων. Περὶ δὲ τῶν ἄλλων αὐτοῦ σπουδασμάτων[9] καὶ διαρίων[10] ἀδύνατόν ἐστιν ἡμῖν καταλέγειν· κύκλους γὰρ δύο πολυταλάντους τῶν ὤμων αὐτοῦ ἀπαιωρήσας ἐν γυμνῷ τῷ σώματι τὴν ὀσφὺν διεζώσατο. Ἐν τούτοις τοῖς θεαρέστοις[11] καλῶς βιώσας ὁ μακάριος οὗτος καὶ τὸν ἑβδομηκοστὸν ἔννατον τῆς ἁπάσης αὐτοῦ ζωῆς[12] χρόνον πληρώσας, τὸ πνεῦμα τῷ Θεῷ παρατίθεται· τὸ δὲ τίμιον αὐτοῦ σῶμα ἐν τῇ τοῦ Κουκουρουβίου ἀποτίθεται μονῇ.

ΚΥΡΙΑΚΗ

μετὰ τὴν Χριστοῦ γέννησιν.

Dominica. **1.** Μνήμη τῶν ἁγίων καὶ δικαίων Ἰωσὴφ τοῦ χρηματίσαντος κατὰ σάρκα πατρὸς τοῦ Κυρίου, καὶ Ἰακώβου τοῦ ἀδελφοῦ τοῦ Κυρίου, καὶ Δαβὶδ τοῦ προφήτου καὶ βασιλέως, ὃς ἦν υἱὸς Ἰεσσαί. Τοῦτον ἐδίδαξεν Νάθαν ὁ προφήτης τὸν νόμον τοῦ Κυρίου καὶ προεφήτευσεν ἔτη τεσσαράκοντα· προέλαβε δὲ τὴν σάρκωσιν τοῦ Χριστοῦ ἔτη ἐνακόσια ἐνενήκοντα ἐννέα· καὶ ἦν ἐν Γαβᾷ, καὶ εἶδε Νάθαν ὅτι Δαβὶδ ἐν τῇ Βερσαβεὲ παραβήσεται· καὶ σπεύδων ἐλθεῖν ἀναγγεῖλαι αὐτῷ, ἐνεποδίσθη παρὰ τοῦ Βελίαρ· εὗρε γὰρ κατὰ τὴν ὁδὸν νεκρὸν κείμενον ἐσφαγμένον γυμνὸν καὶ ἐπέμεινεν ἐκεῖ θέλων θάψαι τὸν νεκρόν· καὶ τῇ νυκτὶ ἐκείνῃ ἐπέγνω, ὅτι ἐποίησε τὴν ἁμαρτίαν Δαβὶδ καὶ ὑπέστρεψε πενθῶν. Ὡς δὲ ἀνεῖλε τὸν ἄνδρα αὐτῆς ὁ Δαβίδ, ἔπεμψε Κύριος τὸν προφήτην Νάθαν ἐλέγξαι αὐτόν· πολλὰ δὲ πενθήσας ὁ Δαβὶδ καὶ πάνυ γηράσας, ἀπέθανε καὶ ἐτάφη εἰς τὴν γῆν αὐτοῦ. Καὶ Σαλομὼν ὁ υἱὸς αὐτοῦ προεφήτευσεν ἔτη τεσσαράκοντα· προέλαβε δὲ τὴν ἔλευσιν τοῦ Χριστοῦ ἔτη ἐνακόσια πεντήκοντα πέντε· καὶ ἀποθανὼν ἐτάφη μετὰ τοῦ πατρὸς αὐτοῦ. Γίνεται δὲ ἡ σύναξις ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ καὶ ἐν τῷ ἀποστολείῳ τοῦ ἁγίου ἀποστόλου Ἰακώβου, τοῦ ἀδελφοῦ τοῦ Κυρίου, ἔνδοθεν τοῦ σεβασμίου οἴκου τῆς ὑπεραγίας Θεοτόκου τῶν Χαλκοπρατείων.

5. — [1] βασιλευόντων S. — [2] καὶ Sa. — [3] τινὰ *add.* Sa. — [4] ἀναπαυσαμένων Sa. — [5] βίῳ S, Sa. — [6] πρὸς Sa. — [7] ἀλφίτων Sa. — [8] κατεσκευασμένον Sa. — [9] πόνων Sa. — [10] μόχθων Sa. — [11] ἔργοις Sa. — [12] (καὶ τὸν - ζωῆς) καὶ τὸν σε' τῆς ὅλης ζωῆς αὐτοῦ Sa.

Dec. 26. Δαβίδ. — 3. — **Cd** : Κυριακῇ μετὰ τὴν Χριστοῦ γέννησιν... Ἰωσὴφ... Ἰακώβου... Δαβίδ. — **M** : 1. — Περὶ τῆς εἰς Αἴγυπτον φυγῆς τῆς ὑπεραγίας Θεοτόκου. — Μνήμη τῆς ἐν τῇ ἁγίᾳ σορῷ ἀποθέσεως τῆς τιμίας ἐσθῆτος τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου ἐν Βλαχέρναις. — 3. 4. 5. — **Mv** : 1 : ἡ σύναξις τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου ἤτοι τὰ ἐπιλόχια. — Περὶ τῆς εἰς Αἴγυπτον φυγῆς. — Τῆς τιμίας ἐσθῆτος. — 3. 4. 5. — **Mb** : 1 (τὰ ἐπιλόχια). — Ἡ εἰς Αἴγυπτον φυγή. — 3. 4. 5. — **Mr** : 1. — Περὶ τῆς εἰς Αἴγυπτον φυγῆς. — 3.

Dominica. SYNAXARIA SELECTA. **Sa** : Κυριακῇ μετὰ τὴν γέννησιν μνήμην ἐπιτελοῦμεν τοῦ προφήτου καὶ βασιλέως Δαβὶδ καὶ Ἰωσὴφ τοῦ χρηματίσαντος κατὰ σάρκα πατρὸς τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ Ἰακώβου ἀδελφοῦ τοῦ Κυρίου. — **P** : 1. — **Da** : 1 (= Ba). — **Db** : 1. — **B** : deest. — **Ba** : 1 : Δαβὶδ τοῦ προφήτου καὶ βασιλέως, Ἰωσὴφ τοῦ μνηστῆρος καὶ Ἰακώβου τοῦ ἀδελφοῦ τοῦ Κυρίου. Ὁ μακάριος Δαβὶδ ὁ προφήτης ὑπῆρχεν ἐν Βηθλεὲμ τῆς Ἰουδαίας υἱὸς Ἰέσσαι· Σαοὺλ τοίνυν βασιλεύοντος... Des. : καὶ πλήρης ἡμερῶν γενόμενος ἔτι ζῶν τὸν υἱὸν αὐτοῦ Σολομῶντα καθιστᾷ βασιλέα τοῦ λαοῦ καὶ τελευτᾷ ἐν εἰρήνῃ ταφεὶς ἐν τῇ πόλει αὐτοῦ, βασιλεύσας ἐπὶ τὸν Ἰσραὴλ ἔτη μ'. — **M** : 1. — **Mv** : 1. — **Mb** : 1. — **Mr** : 1. — Alia alio loco hocce festum reponunt exemplaria, v. c. post diem 25 huius mensis.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΖ'.

1. Ἄθλησις[1] τοῦ ἁγίου ἀποστόλου καὶ πρωτομάρτυρος καὶ ἀρχιδιακόνου Στεφάνου, ἑνὸς τῶν ἑπτὰ διακόνων. Οὗτος ζητήσεώς ποτε μεταξὺ Ἰουδαίων καὶ Σαδδουκαίων καὶ Φαρισαίων καὶ Ἑλλήνων γενομένης περὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, | καὶ τῶν μὲν λεγόντων ὅτι προφήτης f. 118. ἐστίν, τῶν δὲ ὅτι πλάνος, τῶν δὲ ὅτι υἱὸς Θεοῦ, στὰς ἐφ' ὑψηλοῦ τόπου, εὐηγγελίσατο πᾶσι τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν εἰπών· « Ἄνδρες » ἀδελφοί, πρεσβῦται καὶ νέοι, ἵνα τί ἐπληθύνθη- » σαν αἱ φωναὶ ἡμῶν καὶ συγκέχυται πᾶσα Ἱερου- » σαλήμ; μακάριος ἄνθρωπος ὃς οὐκ ἐδίστασεν εἰς » Χριστὸν Ἰησοῦν. Οὗτος γάρ ἐστιν ὁ κλίνας οὐρα- » νοὺς καὶ καταβὰς[2] διὰ τὰς ἁμαρτίας ἡμῶν· καὶ » τεχθεὶς ἐκ παρθένου ἁγίας καὶ καθαρᾶς καὶ ἐκλε- » λεγμένης πρὸ καταβολῆς κόσμου, αὐτὸς τὰς » ἀσθενείας ἡμῶν ἔλαβε καὶ τὰς νόσους ἐβάστασε. » Τυφλοὺς γὰρ ἐποίησεν ἀναβλέψαι, λεπροὺς ἐκα- » θάρισε[3] καὶ τοὺς δαίμονας ἀπήλασεν. » Οἱ δὲ ἀκούσαντες αὐτοῦ, ἤγαγον αὐτὸν εἰς τὸ συνέδριον Act. 6, 10-13. πρὸς τοὺς ἀρχιερεῖς· οὐκ ἴσχυον γὰρ ἀντιστῆναι τῇ σοφίᾳ καὶ τῷ πνεύματι ᾧ ἐλάλει. Καὶ εἰσελθόντες ὑπέβαλον ἄνδρας τινὰς λέγοντας ὅτι· « Ἀκηκόα- » μεν αὐτοῦ λέγοντος[4] ῥήματα βλάσφημα[5] κατὰ » τοῦ τόπου τοῦ ἁγίου τούτου καὶ τοῦ νόμου. » Καὶ τὰ λοιπὰ καταλέξαντες[6], καθὼς ἐν ταῖς ἱεραῖς Act. 6, 15. τῶν ἀποστόλων πράξεσιν ἐμφέρεται, καὶ ἀτενίσαντες εἰς αὐτὸν οἱ καθεζόμενοι εἶδον[7] τὸ πρόσωπον[8] αὐτοῦ ὡσεὶ πρόσωπον ἀγγέλου[9] καὶ ἐλεγχθέντες, μὴ φέροντες τὴν ἧτταν, λιθοβολοῦσιν αὐτὸν καὶ ἀναιροῦσιν ὑπερευχόμενον αὐτῶν καὶ Act. 7, 60. λέγοντα· « Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρ- » τίαν ταύτην. » Ἐπεὶ δὲ ἐξαίρετον πτῶμα διὰ τῆς νομισθείσης αὐτοῦ πτώσεως ὁ θεῖος πρωτόμαρτυς τὸν ἀντίπαλον καταβαλών, τὸν γλυκὺν ὕπνον ἀνεπαύσατο, συγκομίζεται μὲν τὸ ἱερὸν ἐκείνου[10] σκήνωμα ὑπὸ ἀνδρῶν εὐλαβῶν[11] ἐν γλωσσοκόμῳ περσαίας· εἶδος δὲ τοῦτο ξύλου. Οἳ καὶ κατασφαλισάμενοι ἐκ πλαγίων αὐτὸ κατέθεντο τοῦ ναοῦ. Ὁ δὲ νομοδιδάσκαλος Γαμαλιὴλ γνωστὸς ὢν τῷ μακαρίῳ Στεφάνῳ καὶ τοῦ ἀνδρὸς ἐπιστάμενος τὴν ἀρετήν, προσπίπτει τοῖς ἀρχιερεῦσιν ἐξαιτούμενος τὸ σῶμα λαβεῖν καὶ πρὸς τὴν αὐτοῦ κώμην τὴν πλησίον Ἱερουσαλὴμ ἀπαγαγεῖν καὶ πρὸς τῷ ἰδίῳ αὐτοῦ καὶ καινῷ μνημείῳ καταθεῖναι· ὅπερ καὶ γέγονε. Κηδεύσαντες οὖν αὐτὸν οἱ ἀπόστολοι καὶ ἐξ Ἱερουσαλὴμ μεταγαγόντες καὶ κοπετὸν μέγαν ἐνστησάμενοι κατέθαψαν. Αὖθις[12] οὖν Νικόδημος ὁ ἀνεψιὸς Γαμαλιὴλ καὶ αὐτὸς ὁ Γαμαλιὴλ καὶ ὁ τούτου υἱὸς Ἀβελβοῦς[13] πιστεύσαντες ὑπὸ τῶν ἀποστόλων ἐβαπτίσθησαν. Τελεῖται δὲ | ἡ f. 118v. αὐτοῦ σύναξις ἐν τῷ μαρτυρείῳ αὐτοῦ, τῷ ὄντι πλησίον Κωνσταντιανῶν.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοδώρου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως. Οὗτος ὑπῆρχεν τῆς αὐτῆς πόλεως καὶ γέννημα καὶ θρέμμα· ἐγένετο δὲ πρότερον διὰ τὴν εὐλάβειαν αὐτοῦ πρεσβύτερος τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας, οὐ μόνον δὲ πρεσβύτερος[1] ἀλλὰ καὶ σύγκελλος[2] καὶ σκευοφύλαξ· τοσοῦτον ἐτιμᾶτο παρά τε τῷ βασιλεῖ[3] καὶ τῷ πατριάρχῃ καὶ τῇ συγκλήτῳ καὶ τῇ συνόδῳ πάσῃ. Ἦν γὰρ συνετὸς καὶ γνωστικὸς[4] καὶ ἐλεήμων καὶ συμπαθὴς καὶ πάντα τὰ τῷ Θεῷ ἀρέσκοντα ἐν ἑαυτῷ περιφέρων. Διὰ ταῦτα τοῦ πατριάρχου Κωνσταντίνου[5] τελευτήσαντος, ψήφῳ τοῦ βασιλέως καὶ τῆς συγκλήτου καὶ τῶν ἐπισκόπων καὶ τοῦ λαοῦ παντὸς[6] προχειρίζεται πατριάρχης[7] Κωνσταντινουπόλεως. Καὶ καλῶς ποιμάνας τὸ ποίμνιον αὐτοῦ καὶ κυβερνήσας τὴν ἁγίαν ἐκκλησίαν ὀρθοδόξως ἔτη δύο καὶ μῆνας τρεῖς, πρὸς Κύριον ἐξεδήμησεν.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΗ'.

1. Ἄθλησις τῶν ἁγίων δισμυρίων μαρτύρων τῶν ἐν Νικομηδείᾳ καέντων[1]. Μαξιμιανοῦ τοῦ βασιλέως ἐκ τοῦ κατὰ τῶν Αἰθιόπων ὑποστρέψαντος πολέμου μετὰ νίκης καὶ βουλομένου ἐπινί-

1. — [1] μνήμη Sa. — [2] *add.* ἐπὶ *sed del. corr.* S. — [3] ἐκαθέρισε Sa. — [4] λαλοῦντος Sa. — [5] βλασφημίας Sa. — [6] καταλλέξαντες S. — [7] καὶ ἰδόντες τὴν δόξαν Sa. — [8] τοῦ προσώπου Sa. — [9] ὡσεὶ π. ἀγγέλου *om.* Sa. — [10] ἐκεῖνο Sa. — [11] καὶ τίθεται *add.* Sa. — [12] εὐθυς Sa. — [13] Ἀμελβοὺς Sa.

2. — [1] (τῆς - πρεσβύτερος) *om.* Sa. — [2] σύγγελος S. — [3] τοῖς βασιλεῦσι Sa. — [4] γνωστικὸς καὶ συνετὸς Sa. — [5] Κωνσταντινουπόλεως Sa. — [6] παντὸς τοῦ λαοῦ Sa. — [7] τοῦ θρόνου *add.* Sa.

1. — [1] καυθέντων Sa.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. — **Sb** : 1. 2. — **H** : 1. — Θεοδώρου Σαβαΐτου τοῦ γραπτοῦ (Dec. 28[2]). — Τῶν ἁγίων πατέρων τῶν ἐν τῇ Ῥαϊθοῦ (Ian. 14[1]). — **P** : 1 (ἐν Κωνσταντιναῖς). — Θεοδώρου Σαββαΐτου καὶ πρεσβυτέρου ἀδελφοῦ μακαρίου Θεοφάνους τοῦ ὁμολογητοῦ. — Τῶν ἁγίων πατέρων ἡμῶν ἐν τῇ Ῥαϊθοῦ ἀναιρεθέντων. — **Da** : 1. — Θεοδώρου. — **Db** : 1. — **F** : 1. — Θεοδώρου τοῦ γραπτοῦ. — **Fa** : 1. — Θεοδώρου τοῦ γραπτοῦ. — **B** : 1. — **Ba** : deest. — **Bb** : 1. — Κωνσταντίνου τοῦ ἐκ Ἰουδαίων (Dec. 26[4]). — **L** : 1. — **C** : 1. — Θεοδώρου τοῦ γραπτοῦ. — Κωνσταντίνου τοῦ ἐκ Ἰουδαίων. — **Cb** : 1. — Θεοδώρου τοῦ γραπτοῦ. — **Cc** : 1. — Θεοδώρου τοῦ γραπτοῦ. — Κωνσταντίνου τοῦ ἐκ Ἰουδαίων. — **Cd** : 1. — Θεοδώρου. — **M** : 1. — Θεοδώρου τοῦ γραπτοῦ. — **Mv** : 1. — Θεοδώρου τοῦ γραπτοῦ. — Στίχοι ἰαμβικοὶ γραφέντες ἐν τῷ προσώπῳ τοῦ ἁγίου Θεοδώρου καὶ τοῦ ἀδελφοῦ αὐτοῦ Θεοφάνους παρὰ Θεοφίλου βασιλέως ἐν σιδήρῳ πυρωθέντι. — 2. — Μαυρικίου καὶ τῶν σὺν αὐτῷ ἑβδομήκοντα μαρτύρων (Febr. 21[6]). — **Mb** : 1. — Θεοδώρου τοῦ γραπτοῦ. — 2. — **Mr** : 1. — Θεοδώρου τοῦ γραπτοῦ. — Στίχοι ἰαμβικοί.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. — **Sb** : 1. — Ἰνδὴς καὶ Δόμνας (Dec. 30[2]). — **H** : Θεοδώρου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως (Dec. 27[2]). — Στεφάνου (Dec. 27[1]). — **P** : Θεοδώρου. — 3. —

Dec. 28. κια θῦσαι τοῖς εἰδώλοις, γράμματα ἐπέμφθησαν πανταχοῦ συνελθεῖν ἅπαντας εἰς τὴν προσκύνησιν τῶν εἰδώλων. Ὁ δὲ ἅγιος ἐπίσκοπος Ἄνθιμος ἐν τῇ ὑπ' αὐτὸν ἐκκλησίᾳ συναθροίσας τὸν τοῦ Χριστοῦ λαόν, ἦν γὰρ ἡ ἑορτὴ τῆς Χριστοῦ γεννήσεως, συνεώρταζεν αὐτοῖς καὶ ἐδίδασκεν τὴν ἀληθινὴν πίστιν. Μαθὼν δὲ τοῦτο ὁ Μαξιμιανὸς προσέταξε κύκλῳ τῆς ἐκκλησίας τεθῆναι φρύγανα καὶ ἐξαφθῆναι καὶ κατακαῆναι τοὺς χριστιανούς. Ὅπερ γνοὺς ὁ ἐπίσκοπος σπεύσας καὶ βαπτίσας τοὺς κατηχουμένους τὴν θείαν ἱερουργίαν ἐπετέλεσε· καὶ μετέδωκεν ἅπασι[2] τῶν ἀχράντων μυστηρίων· καὶ οὕτως ἀναφθέντων τῶν φρυγάνων, ἐτελειώθησαν ἅπαντες δισμύριοι ὄντες. Ὁ δὲ ἐπίσκοπος οὐ συγκατεκαύθη, διαφυλαχθεὶς Θεοῦ χάριτι, ἵνα καὶ ἑτέρους ὠφελήσῃ καὶ βαπτίσῃ.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν[1] Θεοδώρου τοῦ γραπτοῦ. Οὗτος ἐγένετο ἀπὸ Συρίας, ἔφυ δὲ παρὰ εὐσεβῶν καὶ χριστιανῶν γονέων. Μονάσας δὲ πρότερον ἐν τῇ λαύρᾳ τοῦ ἁγίου Σάβα | καὶ πολλὰ ἀγωνισάμενος μετὰ[2] τοῦ f. 119. ἀδελφοῦ αὐτοῦ Θεοφάνους τοῦ ποιητοῦ τῶν κανόνων, ὕστερον ἦλθεν ἐν Κωνσταντινουπόλει ἐπὶ[3] Θεοφίλου τοῦ εἰκονομάχου. Καὶ καταναγκασθεὶς ἀρνήσασθαι τὴν προσκύνησιν τῶν ἁγίων εἰκόνων καὶ μὴ πεισθείς, εἰς ἐξορίαν ἐκπέμπεται, πρότερον κατακεντηθεὶς καὶ καταγραφεὶς τὸ τίμιον

— [2] Sa, ἅπαντας S.

2. — [1] καὶ ὁμολογητοῦ *add.* Sa. — [2] καὶ *add.* Sa. — [3] τοῦ βασιλέως *add.* Sa.

Dec. 28. **Da** : Ἴνδη καὶ Δόμνας. — **Db** : 2. — Ἴνδη καὶ Δόμνας. — **F** : Θεοδώρου. — Μελάνης. Ἥτις ἦν ἐπὶ τῆς βασιλείας Ὀνωρίου[1] γένους περιδόξου καὶ ἐπιφανοῦς, καὶ τῆς συγκλήτου πρώτη. Αὕτη ἐξ ὅλης τῆς καρδίας τὸν Θεὸν ἐπεπόθησεν, ἐξ ἁπαλῶν ὀνύχων παρθενεύειν αἱρουμένη. Ἀλλ' οἱ ταύτης γονεῖς βίᾳ καὶ πόθῳ ἑλκόμενοι, ἀνδρὶ ταύτην ἐκδέδωκαν· ἣ καὶ ζευχθεῖσα καὶ δύο ἀποτεκοῦσα τέκνα, ἀνέτρεφεν αὐτὰ εὐχαρίστως καὶ εὐσεβῶς πολιτευομένη. Ἐπεὶ δὲ ἐτελεύτησαν οἵ τε συγγενεῖς αὐτῆς καὶ τέκνα, αὕτη τε καὶ ὁ ἀνὴρ αὐτῆς ἀδείας λαβόμενοι τὴν πόλιν καταλιπόντες ἐν προαστείῳ διῆγον, πᾶσαν ἄσκησιν ἐπιδεικνύμενοι καὶ ῥακώδη[2] περιβεβλημένοι ἐνδύματα. Ἡνίκα δὲ ἤρξαντο οὗτοι οἱ ἀοίδιμοι τῆς ἰσαγγέλου πολιτείας, ἡ μὲν ὁσία Μελάνη εἴκοσι ὑπάρχων ἐνιαυτῶν, ὁ δὲ ταύτης ἐν Κυρίῳ πνευματικὸς ἀδελφὸς Ἀπηλιανὸς[3] τεσσάρων καὶ εἴκοσι, οὗτοι τοὺς νοσοῦντας περιερχόμενοι ἐθεράπευον καὶ τοὺς ἐπιδημοῦντας ξένους ὑπεδέχοντο, καὶ πᾶσι τοῖς δεομένοις τε καὶ πτωχοῖς τὴν χρείαν ἐπλήρουν, φυλακὰς καὶ ἐξορίας καὶ τὰ μέταλλα περιερχόμενοι. Καὶ ἦν αὐτῶν ἡ θύρα, κατὰ τὸν μακάριον Ἰώβ, παντὶ ἀδυνάτῳ καὶ θλιβομένῳ ἀνεῳγμένη. Μετὰ δὲ ταῦτα, προστάξει βασιλικῇ ταῦτα διαπωλήσαντες τά τε κίνητα καὶ ἀκίνητα, ὑπέρογκα ὄντα καὶ ἀμέτρητα ὡσεὶ μυριάδων χρυσίου ιβ', ἐκτὸς τῶν κτημάτων τῆς ὁσίας τῶν διεσκορπισμένων τε πόλεσι καὶ χώραις τῆς δύσεως, ἀλλὰ καὶ ἐν Μεσοποταμίᾳ καὶ Συρίᾳ καὶ Παλαιστίνῃ[4] καὶ τοῖς μέρεσι τῆς Αἰγύπτου, καὶ μοναστήρια τὰ μὲν ἐκ θεμελίων ἀνεγείροντες, τὰ δὲ ἀνοικοδομοῦντες καὶ ἐκκλησίας ὡσαύτως, — μετὰ ταῦτα ἤρξατο ὑποπιάζειν αὐτῆς τὸ σῶμα ἡ ἁγία καὶ δουλαγωγεῖν. Καὶ διὰ δύο ἡμερῶν μετελάμβανε τροφῆς χωρὶς ἐλαίου, εἶτα διὰ πέντε· σαββάτῳ καὶ κυριακῇ μόνον ἤσθιεν ἄρτον. Ἔγραφε δὲ εὐφυῶς πάνυ καὶ ἀπταίστως ἐν σωματώοις χάρτεσιν· τεταγμένον δὲ ἦν αὐτῇ, πόσον ὀφείλει γράφεσθαι καὶ πόσον ἀναγνῶναι· ἀνεπαύετο γὰρ δύο μόνας ὥρας. Πόσων δὲ ἁγίων πόδας ἔνιψεν, πόσοις δούλοις Θεοῦ ἐπήρκεσε καὶ πτωχοῖς, πόσους[5] καὶ Σαμαρείτας καὶ αἱρετικοὺς καὶ Ἕλληνας χρήμασι καὶ παραινέσεσι τῷ Θεῷ προσήνεγκεν. Ποιήσαντες δὲ ἐν Ἀφρικῇ ἔτη ζ' καὶ ἀποθέμενοι πάντα τὸν φόρτον τοῦ πλούτου, ἔφθασαν τὴν Ἀλεξάνδρειαν, ἔπειτα τὰ Ἱεροσόλυμα· ἐκεῖθεν πάλιν κατέλαβον τὴν Αἴγυπτον. Καὶ προσκυνήσαντες τοὺς ἐκεῖσε ἁγίους καὶ ἐκκλησίας, ὑπέστρεψαν εἰς τὴν ἁγίαν πόλιν· αὐτὴ δὲ ἐγκλείσασα[6] ἑαυτὴν ἔν τινι κελλίῳ ἐν σάκκῳ καὶ σποδῷ καθεζομένη ἡύχετο, μηδενὶ προσομιλοῦσα εἰ μὴ Παύλῃ τῇ ταύτης μητρὶ καὶ τῷ αὐτῆς πνευματικῷ ἀδελφῷ, καὶ τοῦτο[7] δι' ἡμερῶν ε'. Ὕστερον δὲ ᾠκοδόμησεν ἑαυτῇ μοναστήριον, συναγαγοῦσα παρθένους ἐνενήκοντα, πᾶσαν χρείαν αὐταῖς ἀποπληροῦσα καὶ κανόνας παραδοῦσα. Ἦν γὰρ αὐταῖς ὁ μὲν νυκτερινὸς κανὼν ἀπὸ μεσονυκτίου μέχρις ἀνατολῆς ἡλίου σὺν καὶ τῇ α' ὥρᾳ· εἰθ' οὕτως ἔψαλλον τὴν μὲν γ' ὥραν τῆς ἡμέρας ἔχοντες, ὅτι καὶ ἐν αὐτῇ κατῆλθεν ὁ παράκλητος ἐπὶ τοὺς ἀποστόλους· τὴν ς' δὲ ὅτι ἐν αὐτῇ ὁ πατριάρχης Ἀβραὰμ κατηξιώθη τὸν Κύριον ὑποδέξασθαι, τὴν δὲ θ' διὰ τὴν παράδοσιν τῶν ἁγίων ἀποστόλων. Ἐν αὐτῇ γὰρ Πέτρος καὶ Ἰωάννης ἀναβαίνοντες εἰς τὸ ἱερὸν ἐπὶ τὴν ὥραν τῆς προσευχῆς τὴν θ' τὸν χωλὸν ἐθεράπευσαν· ἀλλὰ καὶ αὐτὸς ὁ Κύριος ἐξῆλθεν περὶ τρίτην καὶ ς' καὶ θ' καὶ ἑνδεκάτην ὥραν μισθώσασθαι ἐργάτας εἰς τὸν ἀμπελῶνα αὐτοῦ, ὥς φησιν τὸ εὐαγγέλιον. Διὸ καὶ τὰ ἑσπερινὰ μετὰ πάσης[8] σπουδῆς καὶ προθυμίας ὀφείλομεν. Ἐν τούτοις[9] πᾶσι καλῶς προκοπτούσης τῆς ὁσίας Μελάνης, ἀνεπαύσατο ἐν Κυρίῳ ἡ ταύτης μήτηρ. Εἶθ' οὕτως καὶ ὁ πνευματικὸς αὐτῆς ἀδελφός· καὶ μετὰ χρόνους ὀκτὼ κατασχεθεῖσα ὑπὸ τῆς τοῦ πλευροῦ ἀλγηδόνος, σφόδρα ἠρρώστησε. Καὶ προσκαλεσαμένη τὸν Ἐλευθεροπόλεως ἐπίσκοπον καὶ δεξαμένη παρ' αὐτοῦ τὴν θείαν κοινωνίαν καὶ συνταξαμένη ταῖς ἀδελφαῖς καὶ τοῖς ἑπομένοις τῷ ἐπισκόπῳ μοναχοῖς, ἐσχάτην ταύτην ἀφῆκε φωνὴν πρὸς αὐτούς· « Ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτως καὶ ἐγένετο », καὶ εὐθέως παρέδωκεν τὴν τιμίαν αὐτῆς ψυχὴν εἰς χεῖρας Θεοῦ ζῶντος (Dec. 31[1]). — **Fa** : Θεοδώρου. — Μελάνης. — **B** : 2. — Θεοδώρου. — Ἴνδη καὶ Δόμνας. — 1. — Ἄθλησις τῶν ἀπὸ τῆς συγκλήτου καὶ τῶν ἔξω τῆς πυρᾶς ὑπολειφθέντων ἁγίων μαρτύρων. — **Ba** : deest. — **Bb** : 2. — Θεοδώρου. — Ἴνδη καὶ Δόμνας. — 1. —

[1] Ὠνωρίου F. — [2] ρακκώδη F. — [3] F, *lege* Πινιανός. — [4] Παλεστήνη F. — [5] πόσου F. — [6] ἐκκλήσασα F. — [7] τότε F. — [8] πάση F. — [9] τούτοι F.

αὐτοῦ πρόσωπον διὰ μέλανος καὶ βελόνης, καὶ ὡς εἷς τῶν κακούργων καὶ φευγόντων δούλων καθυβρισθείς. Ἐν δὲ τῇ ἐξορίᾳ ἀπελθὼν πολλὰ πάλιν ἀγωνισάμενος καὶ πολλοὺς τῶν ὀρθοδόξων στηρίξας, πρὸς Κύριον ἐξεδήμησε. Λέγεται δὲ γέροντά τινα μέγαν ἐπιστάντα τῇ αὐτοῦ[4] ἐκδημίᾳ πρὸς Κύριον ἀγγελικῶν ἐπακούειν ᾠδῶν καὶ αὐτὸν ἕνα[5] τῶν ᾀδόντων γενέσθαι. Dec. 28.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Στεφάνου[1].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΘ'.

1. Ἄθλησις τῶν ἁγίων νηπίων τῶν ἐν Βηθλεὲμ ἀναιρεθέντων ὑπὸ Ἡρώδου, ὧν ὁ ἀριθμὸς χιλιάδες δεκατέσσαρες.

2. Καὶ μνήμη πάντων τῶν χριστιανῶν ἀδελφῶν ἡμῶν τῶν ἐν λιμῷ καὶ δίψει καὶ κρύει τελειωθέντων. Τελεῖται δὲ ἡ τοιαύτη[1] σύναξις ἐν τοῖς Χαλκοπρατείοις, εἰς τὸν ναὸν τῆς ὑπεραγίας Θεοτόκου[2], ἔνθα ἡ ἁγία σορός.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Μαρκέλλου μονῆς τῶν Ἀκοιμήτων. Οὗτος ὁ ὅσιος πατὴρ ἡμῶν[1] Μάρκελλος ὑπῆρχεν ἐκ πόλεως Ἀπαμείας τῆς δευτέρας Συρίας, ἐξ ἐνδόξου γένους καὶ περιφανοῦς· ὅθεν καὶ πᾶσαν τὴν ἐν λόγοις παίδευσιν διῆλθε. Καὶ ταύτην παριδὼν κατέλιπε τὰ οἰκεῖα καὶ παραγίνεται εἰς Ἔφεσον, καὶ ξενίζεται παρά τισιν εὐλαβέσι. Καὶ ἔν τινι τῶν ἐκεῖσε μοναστηρίων εἰσελθὼν καὶ ἀσκήσας καλῶς, παραγίνεται[2] πρὸς τὸν ὅσιον Ἀλέξανδρον ὄντα ἐν τῇ μονῇ τῶν Ἀκοιμήτων, μαθὼν περὶ τῆς ἐνθέου καὶ ὑψηλῆς αὐτοῦ πολιτείας· καὶ ἐν τῇ τοιαύτῃ μονῇ τὴν διαγωγὴν ποιησάμενος καὶ πάντας ὑπερβαλὼν ταῖς καθημεριναῖς αὐτοῦ προκοπαῖς, μετὰ τὴν κοίμησιν Ἀλεξάνδρου καὶ Ἰωάννου[3] τοῦ μετ' ἐκεῖνον χρηματίσαντος ἡγουμένου τῆς μονῆς καθίσταται ἀρχηγός. Πολλῶν δὲ θαυμάτων τῇ τοῦ Χριστοῦ χάριτι ἐπιδειξάμενος δύναμιν, ἐν αὐτῇ τῇ μονῇ ἐν εἰρήνῃ κοιμηθεὶς ἀνεπαύσατο. Dec. 29.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ὁσίας μητρὸς ἡμῶν[1] Θεοδώρας τῆς ἀπὸ Καισαρίδος. Αὕτη ἤσκησεν[2] ἐν τῇ μονῇ τῆς ἁγίας Ἄννης τῇ λεγομένῃ Ῥιγίδιον[3]· ὑπῆρχε δὲ ἐπὶ τῆς βασιλείας Λέοντος, πατρὸς Κωνσταντίνου τοῦ Κοπρωνύμου, γένους οὖσα λαμ|προῦ καὶ ἐπισήμου, πατρὸς μὲν f. 119v. ὀνόματι Θεοφίλου πατρικίου τὴν ἀξίαν, μητρὸς δὲ Θεοδώρας. Αὕτη ἡ Θεοδώρα ἐν πολλοῖς[4] ἔτεσι τὴν στείρωσιν ἀποδυρομένη καὶ τὸν Θεὸν ἱκετεύουσα καὶ τὴν ὑπεραγίαν Θεοτόκον, δέχεται τὴν χάριν οὐρανόθεν, ταύτην κομισάσης τῆς τιμίας Ἄννης τῆς μητρὸς τῆς Θεοτόκου. Τεχθεῖσα τοιγαροῦν ἡ νεᾶνις καὶ εἰς μέτρον ἡλικίας φθάσασα, προσάγεται τῷ ναῷ τῆς ἁγίας Ἄννης καὶ τῷ μοναστηρίῳ εἰσδέχεται ὡς θεῖον ἀνάθημα. Θεοσεβῶς δὲ ῥυθμι-

— [4] αὐτῇ Sa. — [5] αὐτῶν ἕνα S, αὐτὸν ἕνη Sa.

3. — [1] τοῦ Σαβαΐτου καὶ ποιητοῦ τῶν κανόνων *add.* Sa.

2. — [1] Sa, αὐτῶν S. — [2] (εἰς - Θεοτόκου) *om.* Sa.

3. — [1] καὶ ἀρχιμανδρίτης *add.* Sa. — [2] ἀπέρχεται Sa. — [3] Ἰακώβου S, Ἰωάννου Sa, *cf. Vitae S. Marcelli c. XI*, P. G., *t. CXVI, p. 716.*

4. — [1] μητρὸς ἡμῶν *om.* Sa. — [2] οἴκησεν Sa. — [3] Ρηγίδιον S. — [4] πολοῖς S.

Τῶν ἁγίων τῶν ὑπολειφθέντων κτλ. — **L** : 1. — **C** : Εὐαρέστου (Dec. 26[5]). — Τῶν ἁγίων πατέρων τῶν ἐν Ῥαϊθοῦ τελειωθέντων (Ian. 14[1]). — Θεοδώρου. — Ἴνδη καὶ Δόμνας. — 1. — Τῶν ἁγίων τῶν ἀπὸ τῆς συγκλήτου καὶ τῶν ἔξω τῆς πυρᾶς τελειωθέντων. — **Cb** : Τῶν ἐν Ῥαϊθοῦ. — Θεοδώρου. — Τῶν ἁγίων μαρτύρων τῶν ἀπὸ τῆς συγκλήτου κτλ. — **Cc** : Εὐαρέστου. — Τῶν ἐν Ῥαϊθοῦ. — Θεοδώρου ἀρχιεπισκόπου Κ. — Ἴνδη καὶ Δόμνας. — Τῶν ἁγίων ... ἀπὸ τῆς συγκλήτου κτλ. — **Cd** : Τῶν ἐν τῇ Ῥαϊθῷ. — Θεοδώρου. — Ἴνδη καὶ Δόμνας. — 1. — Τῶν ἁγίων ... τῶν ἀπὸ τῆς συγκλήτου κτλ. — **M** : 1. — Τῶν ἀπὸ τῆς συγκλήτου ἔξω διὰ τῆς πυρᾶς ἀπολειφθέντων. — Ἴνδης. — Γοργόνιος καὶ Πέτρος ἐν τῇ θαλάσσῃ τ. — Ζήνων ξ. τ. — Μαρδόνιος π. τ. — Θεόφιλος ὁ διάκονος λιθοβοληθεὶς τ. — Μυγδόνιος βόθρῳ ἐγχωσθεὶς τ. — Γλυκέριος π. τ. — Δόμνα (Dec. 30[2]). — 2. — Νικάνωρ ὁ ἀπόστολος ἐν εἰρήνῃ τ. — **Mv** : 1. — Τῶν ἀπὸ τῆς συγκλήτου ἔξω διὰ τῆς πυρᾶς κτλ. — Ἴνδης. — Γοργόνιος καὶ Πέτρος. — Ζήνων. — Μαρδόνιος. — Δωρόθεος ὁ πρεπόσιτος ξ. τ. — Θεόφιλος. — Μυγδόνιος. — Γλυκέριος. — Δόμνας. — Νικάνορος ἀπόστολος. — **Mb** : 1. — Ἴνδη καὶ Δόμνας. — Τῶν ἀπὸ τῆς συγκλήτου κτλ. — **Mr** : 1. Dec. 28.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. — **Sb** : 1. — **H** : 1 (σύναξις ἐν τοῖς Χαλκοπρατείοις). — 3. — **P** : 1. 3. 2. — **Da** : 1. 2. 3. — **Db** : 1. 2. 3. — **F** : 1. 2. 3. 4. 5. 6. — **Fa** : 1. 2. 3. 4. 5. 6. — **B** : 1. 3. — **Ba** : deest. — **Bb** : 1. 3. — Εὐαρέστου (Dec. 26[5]). — Δαβὶδ τοῦ βασιλέως τῇ κυριακῇ μετὰ τὴν Χριστοῦ γέννησιν. — **L** : 1. — **C** : 1. 2. 3. — **Cb** : 1. 3. — **Cc** : 1. 2. 3. — **Cd** : 1. 2. 3. — **M** : 1. 2. 3. — Θαδδαίου τοῦ ὁμολογητοῦ. Οὗτος ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Θαδδαῖος ἀπόδουλος[1] γέγονε Θεοδώρου, τοῦ τὴν μονὴν τῶν Στουδίου ἐκ βασιλικῆς ἐξουσίας λαβόντος καὶ κοινόβιον ποιήσαντος. Καὶ[2] κείρας[3] καὶ οὗτος τὴν κόμην τῆς κεφαλῆς αὐτοῦ, ἐν τῇ αὐτῇ μονῇ γέγονε μοναχός. Καὶ πολιτείαν κτησάμενος θεάρεστον, ἠγαπήθη παρὰ πάντων· νηστείαν γὰρ καὶ ἀγρυπνίαν εἶχε πολλήν, γλώσσης ἐγκράτειαν, προσοχὴν τῶν θείων λογίων[4], χαμευνίαν καὶ ὑπακοὴν ὑπερβάλλουσαν, μηδὲν ἄλλο ἔχων ἐξ[5] ὧν περιεβέβλητο. Τῶν[6] δυσσεβῶν τότε εἰκονομάχων, Μιχαήλ φημι τοῦ Τραυλοῦ καὶ Θεοφίλου τοῦ υἱοῦ αὐτοῦ, κατὰ συγχώρησιν Θεοῦ κρατούντων, πάντας τοὺς εὐσεβεῖς ἐπισκόπους καὶ ἡγουμένους οὓς μὲν ἀπέκλειον, οὓς δὲ ἐξώριζον. Ἐν οἷς ἦν καὶ ὁ μέγας ἀγωνιστὴς Θεόδωρος ὁ τούτου γεγονὼς δεσπότης Dec. 29.

[1] ἀπελεύθερος Mv. — [2] *om.* Mv. — [3] δὲ *add.* Mv. — [4] λόγων Mv. — [5] πλὴν Mv. — [6] δὲ *add.* Mv.

Dec. 29. ζομένη παρὰ τῆς προεστώσης, ἐκδιδάσκεται τὰ ἱερὰ γράμματα. Τῆς δὲ τιμίας παιδὸς καλῶς πολιτευομένης, οὐκ ἤνεγκεν ὁ πονηρὸς δαίμων ὁρᾶν ἑαυτὸν ὑπὸ ταύτης πατούμενον, ἀλλ' ἐξήγειρε τὸν θεομάχον Λέοντα τὸν βασιλέα ἀγαγέσθαι ταύτην γυναῖκα Χριστοφόρῳ τῷ τούτου υἱῷ, ὃν καίσαρα ἀνηγόρευσε· καὶ βίᾳ καὶ τυραννίδι ταύτην ἀποσπάσας τῆς μονῆς, καταλαβεῖν τὴν Κωνσταντινούπολιν αὐτὴν[5] κατηνάγκασεν. Ἀχθείσης δὲ αὐτῆς, τὰ τοῦ γάμου αἴσια ἐπ' αὐτῇ τελοῦνται[6] καὶ παστὰς πήγνυται. Ἀλλ' ὁ μὲν ἐκείνου σκοπὸς τοιοῦτος. Ὁ δὲ Θεὸς ὁ τὸν Αἰγύπτιον πάλαι δειματώσας λυττῶντα[7] κατὰ Σάρρας[8] καὶ τὸν Τιριδάτην[9] ὑπὸ τῆς Ῥιψιμίας καταγωνισάμενος, αὐτὸς καὶ ταύτην διασώζει ἀμόλυντον ἐκ τῆς συναφείας καὶ κοινωνίας[10] τοῦ μνηστῆρος. Παραδόξως γὰρ τῶν Σκυθῶν ἐπιστρατευσαμένων ἐν τῇ ἑσπέρᾳ, ἐν τάχει ἀποστέλλεται ὁ νεόνυμφος[11] τοῖς βαρβάροις ἀντιπαραταξόμενος[12]· ὃς κατὰ τὴν πρώτην προσβολὴν τῷ θανάτῳ παραπέμπεται. Τότε πληροφορίαν λαβοῦσα ἡ ἀκήρατος[13] ἀμνὰς Θεοδώρα καὶ λαθοῦσα πάντας, χρυσίον καὶ ἀργύριον καὶ μαργαρίτας καὶ ἱματισμὸν λαβοῦσα πολυτελῆ καὶ ἐν πλοίῳ εἰσελθοῦσα, πρὸς τὴν μονὴν ἐπανῆλθε χαίρουσα καὶ εὐχαριστοῦσα τῷ τῶν ὅλων Θεῷ. Ὡς δὲ ἐγνώσθη τὰ κατ' αὐτήν, ἐλθων ὁ δεύτερος υἱὸς τοῦ θηριωνύμου καὶ εὑρὼν αὐτὴν κεκαρμένην καὶ ῥακώδη ἱματισμὸν ἠμφιεσμένην, Θεοῦ προνοίᾳ[14] συνεργησάσης, ἀφῆκεν αὐτήν. Αὕτη δὲ τελείας λαβομένη ἐλευθερίας, ἐπὶ τοσοῦτον[15] τὴν σάρκα κατεδάμασεν, ὥστε τὰς τῶν ὀστῶν[16] αὐτῆς ἁρμονίας καθορᾶσθαι. Τροφὴ γὰρ ἦν αὐτῇ ἄρτος οὐγκία[17] μία, καὶ οὗτος διὰ δύο καὶ[18] τριῶν ἡμερῶν καὶ οὐδὲν ἕτερον· τὸ δὲ ἔνδυμα εἶχεν ἓν καὶ | τοῦτο τρίχινον. Ἡ δὲ f. 120. στρωμνὴ αὐτῆς ἄνωθεν μὲν τριχίνῳ[19] ῥάκει περικεκάλυπτο, κάτω[20] δὲ λίθοι ὑπεστρωμένοι ὑπῆρχον· καὶ οὕτως τὸν τῆς ἀγρυπνίας[21] ὕπνον ἐξετέλει· πολλάκις καὶ διὰ πάσης νυκτὸς ἦν ἀγρυπνοῦσα. Οὐ τούτοις δὲ μόνοις ἠρκέσθη τοῖς παλαίσμασιν, ἀλλὰ καὶ σιδήροις τὴν σάρκα καθηλώσασα, οὕτως[22] τὰ μέλη κατεδαπάνησεν, ὥστε καὶ πνοὴν δυσώδη ἐξ αὐτῶν ἀποδίδοσθαι. Οὕτως ἐπὶ πλείστοις ἔτεσι παντοίων ἀρετῶν ἰδέαις διαπρέψασα, πρὸς τὴν ἀήρω καὶ μακαρίαν Ζωὴν μετατίθεται.

5. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις[1] πατρὸς ἡμῶν Γεωργίου ἐπισκόπου Νικομηδείας τοῦ ποιητοῦ τῶν κανόνων.

6. Καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Λεοντίου ἀρχιμανδρίτου.

7. Καὶ τὰ ἐγκαίνια[1] τῶν ἁγίων μ'[2] μαρτύρων, πλησίον τοῦ Χαλκοῦ Τετραπύλου.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Λ'.

Dec. 30. 1. Ἄθλησις τῆς ἁγίας μάρτυρος Ἀνυσίας ὁρμωμένης ἐκ πόλεως Θεσσαλονίκης. Αὕτη ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ, γεννήτορας ἔχουσα εὐσεβεῖς[1] καὶ πιστοὺς καὶ περιουσιαν πολλὴν κεκτημένους. Ὧν τελευτησάντων, αὕτη κατὰ μόνας ἦν διαβιοῦσα[2] καὶ πράξεως εὐαρεστοῦσα Θεῷ. Ἦν ἀπερχομένην κατὰ τὸ ἔθος εἰς τὴν ἐκκλησίαν στρατιώτης τις τοῖς εἰδώλοις προσκείμε-

— [5] *om.* Sa. — [6] τελεῖται Sa. — [7] λυσσῶντα Sa. — [8] Σάρας S. — [9] Τηριδάτην S. — [10] κοινωνίας καὶ συναφείας Sa. — [11] νυμφίος Sa. — [12] ἀντιπαραταξάμενος Sa. — [13] κήρατος Sa. — [14] προνοία S. — [15] τοῖς τῆς ἀσκήσεως πόνοις *add.* Sa. — [16] ὀστέων Sa. — [17] οὐγγία Sa. — [18] ἡ Sa. — [19] Sa. τρίχινον S. — [20] κάτωθεν Sa. — [21] πικρότατον *add.* Sa. — [22] αὐτῆς *add.* Sa.

5. — [1] τοῦ ὁσίου Sa, *ad. d. Dec. 31.*

7. — [1] τοῦ ναοῦ *add.* Sa, *ibid.* — [2] τοῦ Χριστοῦ *add.* Sa.

1. — [1] εὐσεβοῦς S. — [2] διὰ βίου Sa.

Dec. 29. καὶ ἡγούμενος. Σὺν τούτῳ[7] ποτὲ ἀνελθὼν ἐν τῷ παλατίῳ ὁ θεοφόρος οὗτος Θαδδαῖος, ζήλῳ θείῳ πυρωθεὶς ἤλεγξε τὸν δυσσεβῆ ἐκεῖνον βασιλέα ἐνώπιον πάσης τῆς συγκλήτου. Ὁ δὲ ἐκέλευσε τὴν τοῦ Σωτῆρος ἡμῶν εἰκόνα ἐνεχθῆναι καὶ τεθῆναι ἐν τῇ γῇ, τὸν δὲ ἅγιον τοῦτον ἄνδρα ἐπιστῆναι ἄνωθεν τῆς ἁγίας εἰκόνος, καὶ μὴ βουλόμενον, κατεχόμενον ὑπὸ τινων ἰσχυρῶν ἀνδρῶν ἀσφαλῶς πρὸς τὸ μὴ μεταστῆναι[8]· « Ἴδε, φησὶν ὁ τύραννος, τὴν τοῦ Χριστοῦ σου εἰκόνα κατεπάτησας· λοιπὸν συγκατάθου » καὶ ἐν τοῖς λοιποῖς. » Ὁ δὲ ἐν ἀληθείᾳ πεφωτισμένος τὴν ψυχὴν ἀπεκρίνατο πρὸς αὐτόν· « Ἐγώ, » δυσσεβέστατε καὶ πάσης ἀκαθαρσίας πεπληρωμένε τύραννε, οὐκ ἐξ ἰδίας γνώμης τοῦτο πεποίηκα, » μὴ γένοιτο· ἀλλὰ τῆς σῆς τοῦτο πανουργίας καὶ ἀδίκου κράτους. Προσκυνῶ δὲ μᾶλλον ἐγὼ τῇ ἁγίᾳ » εἰκόνι τοῦ Χριστοῦ[9] καὶ Θεοῦ μου, καὶ κατασπάζομαι αὐτὴν καὶ ὑπὲρ αὐτῆς προθυμῶς ἀποθανεῖν » αἱρούμαι. » Τοῦτοις τοῖς λόγοις ὁ ἀλιτήριος αἰσχυνθεὶς ὡς ὑπὸ ἀγροίκου καὶ σκυθρωποῦ καὶ παντελῶς ἰδιώτου ὑβρισθείς, ἐκέλευσεν ἔμπροσθεν αὐτοῦ τὸν ἅγιον ῥιφῆναι καὶ ἀνηλεῶς τύπτεσθαι. Καὶ τοσοῦτον αὐτὸν τοῖς ῥοπάλοις ἔτυψαν, ἄχρις ἂν καὶ ἠλπίζον ἀναπνεῖν. Εἶτα νομίσαντες τεθνάναι, ἔσυραν[10] ἐκ των ποδων ἔξω. Ὃν[11] καί τινες των παρεστωτων δήσαντες εἵλκυσαν ὡς θηνσιμαῖόν τι καὶ ἀκάθαρτον διὰ πάσης τῆς λεωφόρου· καὶ ῥίψαντες αὐτον πλησίον[12] τῆς πηγῆς, ὑπέστρεψαν ἀπολουσάμενοι. Ὁ δὲ μακάριος Θαδδαῖος εὐχαρίστως πάντα καὶ γενναίως ὑπενέγκων τρεῖς ἐπιβιοὺς ἡμέρας ἀπῆλθε πρὸς Κύριον. — **Mv** : 1. 2. 3. — Θαδδαίου τοῦ ὁμολογητοῦ. — **Mb** : 1. 2. 3. — Θαδδαίου. — 5. 7. — **Mr** : 1. 3.

Dec. 30. SYNAXARIA SELECTA. **Sa** : 1. 2. — **Sb** : 1. — Θεοδώρας (Dec. 29[4]). — Μελάνης (Dec. 31[1]). — **H** : 1. — Ἐγκαίνια τῶν ἁγίων μ' μαρτύρων (Dec. 29[7]). — Λέοντος τοῦ ἀρχιμανδρίτου (Dec. 29[6]). — **P** : 1. — Λεοντίου ἀρχιμανδρίτου (Dec. 29[6]). — Τὰ ἐγκαίνια τῶν ἁγίων μ' (Dec. 29[7]). — **Da** : 1. —

— [7] οὖν *add.* Mv. — [8] καὶ *add.* Mv. — [9] Κυρίου Mv. — [10] ἔσυρον Mv. — [11] Mv, οὓς M. — [12] τοῦ τείχους πρὸς τὸ μέρος *add.* Mv.

νος καὶ διὰ ματαιότητα θεοὺς[3] τὰ ἄψυχα ἡγούμενος ξόανα, κατέσχεν ἀνθέλκων αὐτὴν ἐπὶ τοὺς βωμοὺς καὶ προτρεπόμενος μᾶλλον σπονδὰς τοῖς δαιμονίοις προσένεγκεῖν. Τῆς δὲ τὸν Χριστὸν ὁμολογησάσης, ὁ στρατιώτης θυμοῦ πληρωθείς, — καὶ γὰρ εἰς τὸ πρόσωπον αὐτοῦ ἡ ἁγία ἐνέπτυσε, — κατὰ τῆς πλευρᾶς αὐτῆς ἐλαύνει τὸ ξίφος· καὶ οὕτως τὸ μακάριον τέλος ἡ ἀοίδιμος μάρτυς ἐδέξατο.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας μάρτυρος[1] Δόμνας. Αὕτη[2] ὑπῆρχεν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως, ἐκ πόλεως Νικομηδείας[3], ἱέρεια τυγχάνουσα τοῦ δωδεκαθέου τοῦ[4] ἐν τῷ παλατίῳ. Ἐντυχοῦσα δὲ ταῖς τῶν ἁγίων ἀποστόλων πράξεσιν καὶ ταῖς ἐπιστολαῖς τοῦ ἁγίου Παύλου, καὶ παρ' αὐτῶν τὴν ψυχὴν φωτισθεῖσα καὶ τὴν ἀληθῆ πίστιν μαθοῦσα, πιστεύει τῷ Χριστῷ καὶ βαπτίζεται παρὰ Κυρίλλου ἐπισκόπου Νικομηδείας ἅμα Ἴνδῃ τῷ εὐνούχῳ καὶ πλείστοις ἑτέροις[5], οὖσα ἤδη δωδεκαέτης. Εἶτα μεθίσταται τοῦ βίου ὁ ἐπίσκοπος Κύριλλος καὶ ψήφῳ θείᾳ προβάλλεται[6] f. 120v. Ἄνθιμος. | Ἡ δὲ ἁγία Δόμνα εἰς τὴν ἐπιμέλειαν τῶν πτωχῶν καὶ τὴν τῶν πενήτων χορηγίαν καταστήσασα ἑαυτήν, πάντα τὰ ἐκ τῶν βασιλικῶν φιλοτιμιῶν διδόμενα αὐτῇ καὶ τῷ μακαρίῳ Ἴνδῃ ἐπεδίδου πτωχοῖς[7]· ἐπεδαψιλεύσατο δὲ τὴν τοιαύτην ἐπίδοσιν, τοῦ βασιλέως ἐπὶ τὴν κατὰ τῶν Αἰθιόπων στρατείαν ὁρμήσαντος. Τότε γὰρ οὐ μόνον τὰ πρὸς τροφὴν αὐτοῖς διδόμενα ἀλλὰ καὶ τὰς πολυτιμήτους[8] ἐσθῆτας καὶ τὸν περικείμενον αὐτοῖς[9] χρυσὸν ἀπεμπολοῦντες διένεμον τοῖς πτωχοῖς. Διαβάλλονται οὖν τῷ ἀρχιευνούχῳ καὶ παρ' αὐτοῦ ἐν φυλακῇ τίθενται, ἔνθα δι' ἀγγέλου ἐπιστασίας ἐχορηγεῖτο αὐτοῖς ἡ τροφή. Συνετὴ δὲ οὖσα ἡ μακαρία Δόμνα καὶ τὸν τρόπον τῆς ἀλλοιώσεως ἐννοήσασα τοῦ Δαβίδ, καθ' ὃν ἀφείθη ἐν μέσῳ τῶν πολεμίων ἀπολῃφθείς, δαιμονᾶν προσποιεῖται καὶ μαίνεσθαι· διά τοι τοῦτο αὐτή τε καὶ ὁ Ἴνδης παρὰ τοῦ[10] ἀρχιευνούχου τῷ τῶν χριστιανῶν πέμπονται ἐπισκόπῳ, ὡς δυναμένῳ τῆς μανίας ἀπαλλάξαι αὐτήν. Καὶ ἦν λοιπὸν ἡ μακαρία ἐν πνευματικῇ ἡδονῇ μετὰ τῶν χριστιανῶν συνδιάγουσα. Τοῦ δὲ Μαξιμιανοῦ τροπωσαμένου τὸν πόλεμον καὶ[11] τὰ βασίλεια καταλαβόντος[12] καὶ ἐπινίκια θύειν τοῖς θεοῖς[13] βουλομένου, ἐζητεῖτο ἡ παρθένος Δόμνα καὶ οὐχ εὑρίσκετο. Πυθόμενος δὲ τὰ περὶ αὐτὴν[14] ὁ βασιλεύς, αὐτόν τε τὸν εὐνοῦχον[15] ἀναιρεῖ καὶ κατὰ τῶν ἀσκητηρίων, ἐν οἷς παρθένοι σεμναὶ διῆγον τὸν Χριστὸν ὁμολογοῦσαι Θεόν, κινεῖ διωγμόν· ἔνθα πολλαὶ συλληφθεῖσαι τὸν τοῦ μαρτυρίου στέφανον ἐκομίσαντο. Καὶ Γλυκέριος ὁ πρῶτος πρεσβύτερος[16] τῆς ἐκκλησίας διελέγξας[17] τὸν βασιλέα, ὡς ἐπὶ ματαίοις ἐλπίζει τοῖς εἰδώλοις καὶ θεοὺς ἡγεῖται τὰ ἄψυχα[18], βουνεύροις καταξανθεὶς καὶ ξύλῳ προσηλωθεὶς διὰ πυρὸς τελειοῦται. Καὶ πολλοὶ τῶν τῆς συγκλήτου διαβληθέντες, τὸν διὰ Χριστὸν ὑπέστησαν θάνατον. Τῆς δὲ[19] ἐκκλησίας πληθούσης κατὰ τὴν γενέθλιον ἡμέραν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ λαοῦ τῆς καθ' ἡμᾶς οἰκονομίας τὴν ὑπέρλογον σάρκωσιν ἑορτάζοντος[20], πῦρ ἀνήφθη κύκλῳ αὐτῆς[21], τοῦ βασιλέως προστάξαντος, ἐπεὶ οὐκ ἐπείσθησαν ἐξελθόντες τοῖς εἰδώλοις προσενέγκαι θυσίας· καὶ τελειοῦνται διὰ πυρὸς πλῆθος πολύ, ὡς εἶναι τὸν ἀριθμὸν δισμυρίους[22]. Οἱ δὲ ἀπὸ τῆς συγκλήτου, ὁ μὲν στρατιώτης[23] Ζήνων, θλασθεὶς τὴν ὄψιν καὶ τοὺς | ὀδόντας λίθοις, ξίφει τὴν f. 121. κεφαλὴν ἀποτέμνεται· Δωρόθεος δὲ[24] ὁ πραιπόσιτος τὴν κεφαλὴν ἀφαιρεῖται, Μαρδόνιος πυρὶ φλέγεται, Μυγδόνιος ἐμβάλλεται βόθρῳ, Γοργόνιος καὶ Ἴνδης καὶ Πέτρος λίθοις προσδεθέντες τῷ βυθῷ τῆς θαλάσσης ἀκοντίζονται καὶ[25] Θεόφιλος ὁ διάκονος τὴν γλῶτταν ἐκτέμνεται καὶ ἐν τῷ πεδίῳ λιθοβολεῖται. Ἡ δὲ μακαρία Δόμνα ἀνδρικὴν ὑποδοῦσα στολὴν καὶ ἀπὸ τοῦ σπηλαίου, ἐν ᾧ ἐκέκρυπτο, κατελθοῦσα, τῶν ἀθλησάντων[26] ἀναλαβομένη[27] τὰ σώματα καὶ πλοίῳ ἐνθεῖσα, ἐν ἐπιτηδείῳ τόπῳ ταῦτα ἐκόμισεν ἔξω τῆς πόλεως. Διαβληθεῖσα δὲ προστάξει τοῦ βασιλέως τὴν κεφαλὴν ἀποτέμνεται καὶ πυρὶ τεφροῦται τὸ σῶμα· ἔνθα καὶ ὁ ἅγιος Ἄνθιμος ὁ ἐπίσκοπος συλληφθεὶς τύπτεται σφοδρῶς καὶ σούβλαις πεπυρωμέναις διαπερονᾶται τοὺς ἀστραγάλους, καὶ ἐπὶ ὀστράκου ἁπλοῦται καὶ ῥάβδοις[28] συντρίβεται καὶ κρηπῖδας χαλκᾶς πεπυρωμένας ὑποδύεται καὶ ἐπὶ τροχοῦ κατατείνεται καὶ λαμπάσι πυρὸς ὑποκαίεται. Ἐξ ὧν τῇ τοῦ Θεοῦ χάριτι ῥυσθεὶς ἐτμήθη τὴν κεφαλήν, καὶ τὸν τοῦ μαρτυρίου ἀνεδήσατο στέφανον.

— [3] καὶ ||||||| θεοὺς Sa.

2. — [1] *om.* Sa. — [2] ἡ ἁγία Δόμνα Sa. — [3] ἐν πόλει Νικομηδεία Sa. — [4] τῷ Sa. — [5] πλείστας ἑτέρας S. — [6] προβέβληται ὁ ἁγιώτατος Sa. — [7] δεομένοις Sa. — [8] πολυτιμήτας Sa, *et ante corr.* S. — [9] αὐταῖς Sa. — [10] *om.* Sa. — [11] μετὰ τροπαίων εἰς Sa. — [12] ἀναζεύξαντος Sa. — [13] εἰδώλοις Sa. — [14] αὐτῆς Sa. — [15] ἀρχιευνοῦχον Sa. — [16] πρωτοπρεσβύτερος Sa. — [17] διέλεγξε Sa. — [18] (ὡς - ἄψυχα) *om.* Sa. — [19] (τῆς δὲ) καὶ τῆς Sa. — [20] (τοῦ λαοῦ - ἑορτάζοντος) *om.* Sa. — [21] ταύτης Sa. — [22] (τοῦ - δισμυρίους) καὶ συγκατεκαύθη πλῆθος πολὺ τὸν ἀριθμὸν ὡσεὶ δισμύριοι Sa. — [23] στρατηγὸς Sa. — [24] *om.* Sa. — [25] *om.* Sa. — [26] ἀθλητῶν Sa. — [27] ἀναλαμβανομένη Sa. — [28] βάκλοις Sa.

Θεοδώρας (Dec. 29[4]). — Γεωργίου (Dec. 29[5]). — Λεοντίου (Dec. 29[6]). — Τὰ ἐγκαίνια τῶν ἁγίων μ' (Dec. 29[7]). — **Db** : 1. — Θεοδώρας. — Γεωργίου. — Τὰ ἐγκαίνια τῶν ἁγίων μ'. — **F** : 1. — Ζωτικοῦ τοῦ ὀρφανοτρόφου. Οὗτος ὁ ἅγιος καὶ παναοίδιμος τοῦ Χριστοῦ μάρτυς Ζωτικὸς ὑπῆρχε τῆς πρεσβυτέρας Ῥώμης, κάλλιστον θρέμμα εὐγενῶν γονέων καὶ τὸν βίον εὐδοκιμούντων... Des. : ὁ δὲ τίμιος Ζωτικὸς χάριτι φιλανθρώπου Θεοῦ ἔκτοτε ἀπείρως θαυματουργῶν οὐ παύεται μέχρι τῆς ἡμέρας ταύτης (Dec. 31[2]). — **Fa** : 1. — Ζωτικοῦ. — **B** : 1. — Τίμωνος. — **Ba** : deest. — **Bb** : 1. — Τίμωνος. — Θεοδωσίας τῆς ἀπὸ Καισαρείας (Dec. 29[4]). — **L** : 1. — **C** : 1. — Θεοδώρας. — **Cb** : 1. — **Ce** : 1. — Θεοδώρας. — **Cd** : 1. — **M** : 1. — Θεοδώρας. — Φιλεταίρου. — Ὁ ὅσιος Λέων ὁ ἀρχιμανδρίτης ἐν εἰρήνῃ τ. (Dec. 29[6]). — **Mv** : 1. — Θεοδώρας. — Φιλεταίρου. — Λέων. — **Mb** : 1. — Θεοδώρας. — Φιλεταίρου. — **Mr** : 1.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΛΑ'.

Dec. 31. **1.** Μνήμη τῆς ὁσίας Μελάνης τῆς Ῥωμαίας. Αὕτη ἦν ἐπὶ τῆς βασιλείας Ὀνωρίου, γένους περιδόξου[1] καὶ λαμπροῦ· ἐξ ὅλης δὲ ψυχῆς τὸν Κύριον ἀγαπήσασα, παρθενεύειν ᾑρετίσατο[2]. Ἀλλ' οἱ ταύτης γονεῖς ἀνδρὶ ταύτην ζευγνύουσι καὶ δύο τέκνων μήτηρ ἐγένετο. Εἶτα οἱ γονεῖς αὐτῆς[3] καὶ τὰ τέκνα τὸν βίον ἀπολιμπάνουσι· τὴν πόλιν δὲ[4] καταλιποῦσα ἐν προαστείῳ διῆγε, πᾶσαν ἄσκησιν ἐπιδεικνυμένη. Νοσοῦντας γὰρ ἐθεράπευε, τοὺς ἐπιδημοῦντας ξένους ὑπεδέχετο, τοὺς ἐν φυλακῇ[5] καὶ ἐξορίαις ἐπεσκέπτετο· μετὰ ταῦτα τὴν ὕπαρξιν αὐτῆς πολλὴν οὖσαν διαπωλήσασα καὶ δώδεκα μυριάδας χρυσίου συναγαγοῦσα, εἴς τε μοναστήρια καὶ ἐκκλησίας κατεκένου. Ἔπειτα ἤρξατο ὑποπιάζειν αὐτῆς τὸ σῶμα. Διὰ γὰρ δύο ἡμερῶν μετελάμβανε τροφῆς, εἶτα διὰ πέντε, ὡς σαββάτῳ καὶ κυριακῇ ἐσθίειν μόνον· ἔγραφε δὲ εὐφυῶς καὶ ἀνεγίνωσκε. Ποιήσασα δὲ ἐν Ἀφρικῇ ἔτη ἑπτὰ καὶ ἀποθεμένη πάντα τὸν πλοῦτον εἰς Ἀλεξάνδρειαν ἀφίκετο κἀκεῖθεν εἰς Ἱεροσόλυμα, ἔν τινι κελλίῳ ἑαυτὴν ἐγκλείσασα· ἔνθα[6] μοναστήριον[7] συστησαμένη καὶ ἐνενήκοντα παρθένους συναγαγοῦσα, πᾶσαν χρείαν αὐταῖς ἀπαραλείπτως παρεῖχε. Κατα-
f. 121v. σχεθεῖσα οὖν[8] | ὑπὸ τῆς τοῦ πλευροῦ ἀλγηδόνος, σφόδρα ἠρρώστησε. Καὶ προσκαλεσαμένη τὸν ἐπίσκοπον Ἐλευθερουπόλεως καὶ δεξαμένη παρ' αὐτοῦ τὴν θείαν κοινωνίαν καὶ συνταξαμένη ταῖς ἀδελφαῖς, ἐσχάτην ταύτην ἀφῆκε φωνήν· « Ὡς » τῷ Κυρίῳ ἔδοξεν, οὕτως καὶ ἐγένετο. » Καὶ εὐθὺς παρέδωκε τὸ πνεῦμα αὐτῆς τῷ Θεῷ.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἀθλήσεως τοῦ ἁγίου Ζωτικοῦ τοῦ ὀρφανοτρόφου. Οὗτος ὑπῆρχε[1] τῆς πρεσβυτέρας Ῥώμης, γένους ἐντίμου καὶ λαμπροῦ· ἐξ ἁπαλῶν δὲ τῶν ὀνύχων πάσῃ σοφίᾳ παιδευθείς, παρὰ τοῦ ἐν βασιλεῦσι μεγάλου βασιλέως Κωνσταντίνου ἐν Κωνσταντινουπόλει ὡς ἀγχίνους μετοικίζεται καὶ μαγιστριανὸς τιμᾶται. Σὺν αὐτῷ δὲ καὶ ἕτεροι τῶν ἐν τέλει ἀπὸ Ῥώμης συνέρχονται· ὅ τε τῶν ἁρμάτων μαγιστριανὸς καὶ Παυλῖνος, ὁ τούτου ἀνεψιός, ἔτι τε Ὀλύβριος, Βῆρος, Σεβῆρος, Μαριανός, Ἄνθιμος, Οὐρβίκιος, Ἰσίδωρος, Καλλίστρατος, Φλορέντιος[2], Εὔβουλος, Σαμψών, Στούδιος καὶ ὁ θεσπέσιος Ζωτικός, ὧν καὶ αἱ[3] ἐπωνυμίαι ἐν τοῖς εὐαγέσιν αὐτῶν οἴκοις μέχρι τῆς σήμερον ἐπικέκληνται. Λέγεται δὲ κατὰ τὰς ἡμέρας ταύτας ἐνσκῆψαι τὴν ἱερὰν νόσον ἐν ταύτῃ τῇ πόλει καὶ δόγμα ἐνθέσθαι τὸν βασιλέα βυθῷ θαλάσσης[4] τὸν εἰς ταύτην καταπεσόντα παραπέμπεσθαι· τοῦτο[5] μὴ φέροντα ἰδεῖν ἢ ἀκοῦσαι τὸν τίμιον ἄνδρα[6] πόθῳ θείῳ[7] πυρποληθέντα προσελθεῖν τῷ βασιλεῖ καὶ φῆσαι· « Δότω ὁ βασι- » λεὺς τῷ δούλῳ αὐτοῦ ποσὸν χρυσίου πολλοῦ » καὶ ὠνήσομαι μαργαρίτας τιμίους καὶ λίθους » διαφανεῖς εἰς δόξαν καὶ τιμὴν τοῦ κράτους » αὐτοῦ, ὡς ἔχων πεῖραν πολλὴν ἐν τούτοις. » Ὁ δὲ βασιλεὺς παραυτὰ ἐκέλευσε τοῦτο γενέσθαι. Ὁ δὲ θεοφιλὴς ἐκεῖνος καὶ τοῦ Θεοῦ ἐργάτης δόκιμος, τὸ χρυσίον εἰληφὼς ἐξῆει μετ' εὐφροσύνης καὶ τοὺς ὑπὸ τοῦ ἐπάρχου[8] παραδιδομένους τοῖς δημίοις εἰς ἀπώλειαν, ἱκανὸν τίμημα παρέχων[9], τῆς θανατικῆς πνιγμονῆς ῥυόμενος, πέραν τοῦ Βυζαντίου ἐν τῷ ὄρει τῷ κατὰ τὸν τότε καιρὸν λεγομένῳ Ἐλαιῶνες ἀπεκόμιζε, καὶ σκηνὰς[10] πηγνύμενος ἐκεῖσε αὐτοὺς ἐπανέπαυε. Τοῦτο[11] τὸ θεοκερδὲς[12] ἐμπόρευμα οὐκ ἔλαθε τοὺς πολλοὺς διὰ τὸ πλεῖστα αὐτοῖς[13] ἐπιχορηγεῖν τὸ καθ' ἡμέραν, ὡς πολλοῦ ὑπάρχοντος πλήθους, | καὶ ὡς ἐκ τούτου οὐ μικρὸν f. 122.
τῇ πόλει λιμὸν μέλλειν[14] ἔσεσθαι προσδοκᾶν. Μετὰ δὲ[15] μετάστασιν τοῦ μεγάλου καὶ ἀοιδίμου ἐν βασιλεῦσι Κωνσταντίνου, Κωνστάντιος ὁ υἱὸς αὐτοῦ τὴν ὅλην βασιλείαν ὑποζωσάμενος, οὐκ εὐσεβῶς, ἀρειανίζων γὰρ ἦν, πολλοὺς τῶν εὐσεβῶν ποιναῖς ὑπέβαλεν. Ὃς καὶ τὸν μακάριον Ζωτικὸν ὀρθόδοξον ὑπάρχοντα ἀπεστρέφετο, εἰ καὶ τοῦ ἁγίου Κωνσταντίνου τοῦ πατρὸς αὐτοῦ τῇ πρὸς τὸν ὅσιον στοργῇ[16] ηὐλαβεῖτο· εὐκαίρου δὲ λαβόμενος ἀφορμῆς, ἐνεῖχεν αὐτῷ ὡς τὴν νόσον τῆς λελωβημένης λέπρας οἰόμενος[17] δι' αὐτοῦ ἐν τῇ πόλει ἐνσκῆψαι. Συνέβη δὲ καὶ τὴν τοῦ βασιλέως θυγατέρα τῇ αὐτῇ νόσῳ περιπεσεῖν, ἥτις καὶ παρεδόθη τῷ ἐπάρχῳ[18] παρὰ τοῦ ἰδίου πατρὸς πρὸς τὸ τῇ θαλάσσῃ ἀπορριφῆναι. Ὁ δὲ τίμιος Ζωτικὸς κατὰ τὸ εἰωθὸς δοὺς τοῖς δημίοις τὸ ὀφειλόμενον, ἐξωνήσατο τὴν παῖδα καὶ τοῖς λοιποῖς λωβοῖς ἐγκατέστησε. Τοῦ προσδοκωμένου οὖν λιμοῦ κατὰ συγχώρησιν Θεοῦ γενομένου καὶ ἐν σπάνῃ χρειῶν τῆς πόλεως καταστάσης, ὁ βασιλεὺς δυσχεραίνων ἐπειρᾶτο μαθεῖν τοῦ λιμοῦ τὴν

1. — [1] ἐνδόξου Sa. — [2] ἠρετήσασα S. — [3] ταύτης γονεῖς Sa. — [4] ἡ δὲ τὴν π. Sa. — [5] φυλακαῖς Sa. — [6] ἔνθα κελλίω τινὶ ἑαυτὴν ἐγκ. Sa. — [7] τε *add.* Sa. — [8] δὲ Sa.

2. — [1] ἀπὸ *add.* Sa. — [2] Φλωρέντιος S. Sa. — [3] *om.* Sa. — [4] θαλάττης Sa. — [5] οὖν *add.* Sa. — [6] ἰδεῖν τὸν θεῖον ἄνδρα ἢ ἀκοῦσαι Sa. — [7] θεϊκῷ Sa. — [8] ὑπάρχου Sa. — [9] καὶ *add.* Sa. — [10] σκηνὴν Sa. — [11] δὲ *add.* Sa. — [12] θεοκερδῆ S. — [13] τὰ πρὸς ζωὴν ἀναγκαῖα *add.* Sa. — [14] *om.* Sa. — [15] τὴν *add.* Sa. — [16] τὴν ... στοργὴν Sa. — [17] οἰόμενον Sa. — [18] ὑπάρχῳ Sa.

Dec. 31. SYNAXARIA SELECTA. **Sa** : 1. 2. add. : Γεωργίου (Dec. 29[5]). — Λεοντίου (Dec. 29[6]). — Τὰ ἐγκαίνια τῶν μ' μαρτύρων (Dec. 29[7]). — **Sb** : 2. — **H** : Δόμνας καὶ τοῦ πλήθους τῶν ἐν Νικομηδείᾳ μαρτυρησάντων (Dec. 30[2]). — 2, des. : Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ ἁγίου ἀποστόλου Παύλου τῷ ὄντι ἐν τῷ Ὀρφανοτροφείῳ. — **P** : 2. — Γεωργίου τοῦ Κυπρίου (cf. Dec. 29[5]). — Ἴνδη καὶ Δόμνης κτλ. (Dec. 30[2]). — **Da** : 1. 2. — **Db** : 1. 2. — **F** : Ἴνδης καὶ Δόμνας. — **Fa** : Ἴνδη καὶ Δόμνας. — **B** : 1. — **Ba** : mutil., 2 (= S). — **Bb** : 1. 2. — **L** : 1. — **C** : 1. 2. — Τοῦ ἁγίου καὶ ἐνδόξου προφήτου Ἀβδιοῦ (Nov. 19[1]). — Σαλμανοῦ (Febr. 17[6]). — **Cb** : Αὐδιοῦ. — Λέοντος τοῦ ἀρχιμανδρίτου (Dec. 29[6]). — 2. 1. — **Cc** : 1. 2. — Ἀβδιοῦ. — Σαλαμάνου. — **Cd** : Ἀβδιοῦ. — Λέοντος ἀρχιμανδρίτου. — 2. 1. — **M** : 1. 2 (σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ ἁγίου ἀποστόλου

αἰτίαν. Οἱ δὲ συκοφάνται καὶ τῆς ἀληθείας ἐχθροί, ἀδείας λαβόμενοι διέβαλον τὸν ὅσιον Ζωτικόν, καὶ αὐτὸν αἴτιον τοῦ λιμοῦ γεγενῆσθαι διεβεβαίουν[19], ὡς τοῖς λωβοῖς τὰς σωματικὰς χρείας παρέχοντος δαψιλεῖς, πλῆθος ἀναρίθμητον οὖσιν. Ὁ δὲ βασιλεὺς τούτων[20] ἀκούσας καὶ πρὸς ὀλίγον τὸν θυμὸν αὐτοῦ ταμιευσάμενος, μικρὸν ὅσον ᾐδεῖτο τὸν ὅσιον, καὶ ὑπέστέλλετο διὰ τὸ μήπω τοὺς μαργαρίτας καὶ τοὺς τιμίους λίθους ἀπολαβεῖν[21], ὅμως παραπεισθεὶς ὑπὸ κακοθελῶν ἀνδρῶν συλληφθῆναι τοῦτον ἐκέλευσεν. Ὁ δὲ ὅσιος τοῦτο ἀναμαθὼν καὶ σπουδῇ[22] λάθρα πρὸς τὸ παλάτιον εἰσελθὼν ἐμφανίζεται τῷ βασιλεῖ. Ὁ δὲ βασιλεὺς εἰρωνικῶς ἔφη πρὸς αὐτόν· « Ἦλθε, μαγιστριανέ, ἡ τοὺς » μαργαρίτας καὶ τοὺς διαφανεῖς λίθους ἀποκομί- » ζουσα ναῦς; » Ὁ δέ φησιν· « Ἐλθέ, βασιλεῦ, » εἰ ἀξιοῖς, μετὰ τοῦ δούλου σου καὶ βλέπεις » αὐτήν. » Αὐτίκα οὖν μὴ μελλήσας ὁ βασιλεὺς τῆς πορείας ἀπήρξατο. Ὁ δὲ μακάριος Ζωτικὸς προλαβὼν ἐν τῷ Ἐλαιῶνι, τοὺς ἐν Χριστῷ ἀδελφοὺς τοὺς λωβοὺς ἐκέλευσεν ἐξελθεῖν τῶν καλυβῶν, σὺν τῇ τοῦ βασιλέως θυγατρί, λαμπαδηφόρους πρὸς ὑπαντὴν[23] τοῦ βασιλέως. Ὁ δὲ βασιλεὺς
f. 122v. φθάσας τὸν τόπον καὶ ἰδὼν | μακρόθεν τοὺς λωβοὺς λαμπαδηφόρους καὶ θαυμάσας τὸ πλῆθος εἶπε· « Τίνες οὗτοι; » Ὁ δὲ τῷ ἰδίῳ δακτύλῳ ἐπιδείξας· « Οὗτοι, δέσποτα, εἰσίν, ἔφη, οἱ ὑπέρτιμοι » λίθοι[24] καὶ διαφανεῖς μαργαρῖται, οὓς σοι ἐμπό- » νως ἐπριάμην. » Ὁ δὲ ἐμπαιγμὸν τὸ πραχθὲν λογισάμενος καὶ ὑπερζέσας τῷ θυμῷ, συντόμως κελεύει τοῦτον ἀγρίοις ἡμιόνοις συνδεθέντα ἐλαύνεσθαι, ὅπως, ὑπὸ τῶν[25] πετρῶν κατακοπτομένων αὐτοῦ τῶν μελῶν, ἀπορραγῇ[26] μετὰ βίας τοῦ ζῆν. Τούτου οὖν διὰ τάχους γενομένου, παρεστῶτος τοῦ βασιλέως καὶ βλέποντος, αἱ ἡμίονοι παρὰ τῶν δημίων κέντροις βαλλόμεναι, βιαίῳ δρόμῳ τὸν ὅσιον ἀπὸ τοῦ λόφου πρὸς τὸ κάταντες ἐπέσυρον, ὅθεν καὶ κατὰ μέρος τὰ μέλη αὐτοῦ διεσκορπίσθησαν καὶ οἱ ὀφθαλμοὶ ἠχρειώθησαν. Ἐν ᾧ δὲ ταῦτα ἐτελεῖτο, παραυτίκα[22] πηγὴ ἀνεδόθη καθαροῦ καὶ ποτίμου ὕδατος, ἥτις καὶ ἰᾶται πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν, εἰς ἔπαινον καὶ δόξαν τοῦ φιλοικτίρμονος Θεοῦ καὶ τοῦ θεράποντος αὐτοῦ. Ἐπεὶ δὲ συρόμενος ὁ μακάριος Ζωτικὸς τὴν ψυχὴν παρέθετο τῷ Κυρίῳ, αὐτίκα αἱ ἡμίονοι ἀκίνητοι μείναται καὶ μηδαμῶς[27] κινούμεναι, καίπερ βίᾳ μαστιζόμεναι ὑπὸ τῶν δημίων, ἀνθρωπίνῃ φωνῇ εἰς ἐπήκοον πάντων αὐτοῦ τοῦ βασιλέως τὴν ὠμότητα καὶ ἀλογίαν ἐθριάμβευσαν, τυφλὸν[28] αὐτὸν καὶ ἀναίσθητον εἰποῦσαι· τὸν δὲ ὅσιον ταφῆναι ἐν αὐτῷ εἶπον τῷ τόπῳ. Ταῦτα ἀκούσας καὶ ἰδὼν ὁ βασιλεύς, θάμβους πλησθείς, δάκρυσι καὶ στεναγμοῖς τὸ θεῖον ἐξιλεοῦτο μετὰ συντριμμοῦ[29] καρδίας, ἄγνοιαν εἶναι εἰπὼν τὰ παρ' αὐτοῦ πραχθέντα· καὶ παραυτίκα προστάττει μετ' ἐπιμελείας καὶ πολλῆς τιμῆς κηδευθῆναι τὸ σῶμα τοῦ μάρτυρος καὶ σπουδῇ συντόνῳ[30] ἀνεγεῖραι οἶκον μέγιστον τοῖς λωβοῖς, ἐκ τῶν βασιλικῶν ἀναλωμάτων τὴν ἔξοδον γενέσθαι κελεύσας καὶ προάστεια πλεῖστα ἐκεῖσε ἀφιερώσας. Ὁ δὲ τίμιος Ζωτικὸς χάριτι τοῦ φιλανθρώπου Θεοῦ ἔκτοτε ἀπείρως θαυματουργῶν οὐ παύεται μέχρι τῆς ἡμέρας ταύτης.

— [19] διεβεβαιοῦντο Sa. — [20] τοῦτο Sa. — [21] Sa, ἀπολαυεῖν S. — [22] *om.* Sa. — [23] ὑπάντησιν Sa. — [24] λίθοις Sa. — [25] ἐκεῖσε *add.* Sa. — [26] ἀπορραγῆναι Sa. — [27] μηδόλως Sa. — [28] καὶ *add.* Sa. — [29] συντετριμμένης Sa. — [30] συντονωτάτη Sa.

Dec. 31. Παύλου τῷ ὄντι ἐν τῷ Ὀρφανοτροφείῳ). — Γελάσιος ἐν εἰρήνῃ τ. — Αἱ ἅγιαι δέκα παρθένοι αἱ ἐν Νικομηδείᾳ τοὺς ὀφθαλμοὺς διατρηθεῖσαι καὶ τὰς πλευρὰς ξεσθεῖσαι τ. — Ὀλυμπιοδώρα π. τ. — Γάϊος ἐν εἰρήνῃ τ. — **Mv** : 1. 2. — Γελάσιος. — Αἱ ἅγιαι δέκα παρθένοι. — Ὀλυμπιοδώρα. — Γάϊος. — **Mb** : 1. 2. — Τοῦ ἁγίου ἀποστόλου Τίμωνος. — Τοῦ ὁσίου πατρὸς ἡμῶν Μαρίνου ἐπισκόπου. — Γελασίου. — Γαΐου. — Τοῦ ἁγίου μάρτυρος Βουσίριδος. — **Mr** : 1.